www.tezaurliturgic.ro

EX LIBRIS
G.J.ARVANITIDI
BYZANTINAE

www.tezaurliturgic.ro

δει γνῶς ἔσην ... την τοθηγικη
ια προ την ζοῦ ... λογγε κα
παραλάβαμεν τὴν προσκύνησιν τῶν
ἀγίων ἡμῶν ἀφθορον ἴδιον ζοὶν χρι-
στὸν διαδὴν σταλίσαν πρὸς τὸν αὐγα-
ρον ἀσδέξες ..ι προι ποθήσαν τὸ αὐτὸ
μαν δηπιὸν ...
[illegible]
[illegible]
[illegible]
[illegible]

ἀσμὸ φῶς νοὺς δὴ πλοῦς ὁ κόσμος ὁμιχουλο
γίζομενος θα ἔσχαλα αὐτὸ ἄνεμος ἐστὶν
προσώρα ανα πνεον παραμαλανα
καιρῆς

www.tezaurliturgic.ro

[illegible] Αγίου μου [illegible]

ΜΑΝΑΠ[illegible]

ἔτους 1838 Νοεβρίου δέκα καὶ [illegible] καὶ
ἔμαθον καλαντὶν [illegible]
[illegible]
[illegible] καλαντὶν

www.tezaurliturgic.ro

# ἈΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ἉΓΙΟΥ

# ΜΑΝΔΗΛΙΟΥ.

Νεοφύτου ἱερομονάχου· φιλιππουπολίτου τοῦ καὶ Ἁγιορείτου τ. θ. μαύρου Ἰωάννου

ἘΝΕΤΙΗΣΙΝ. 1745.

Παρὰ Νικολάῳ Γλυκεῖ τῷ ἐξ Ἰωαννίνων.

CON LICENZA DE' SUPERIORI.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ
ΒΙΒΛΙΟΘΗΚΗ

168476

www.tezaurliturgic.ro

# ΤΟΙ͂Σ ἘΝΤΕΥΞΟΜΈΝΟΙΣ

## ΤΩ͂Ι ΠΑΡΌΝΤΙ ΧΑΊΡΕΙΝ.

Προτίθεται ὑμῖν μετ᾽ εὐμενείας, πᾶσι τῆς Ἀνατολικῆς Καθολικῆς καὶ Ὀρθοδόξου Ἐκκλησίας ἀληθέσι τέκνοις, καὶ τῶν Ἑλλήνων παισί, τουτὶ τὸ βιβλιαρίδιον, μικρὸν μὲν τὴν ποσότητα, μέγιστον δέ, ὡς περιέχον θερμοτάτας ἱκεσίας πρὸς τὸν τοῦ παντὸς Βασιλέα, καὶ Σωτῆρα ἡμῶν Ἰησοῦν Χριστόν. ἔστι δ᾽ οὖν Ἀκολουθία μετὰ Ἀκαθίστου, καὶ μιᾶς εὐχῆς, ἣν εὑρὼν ἐγὼ ἐκ τῆς τῶν Σλαβόνων εἰς τὴν Ἑλλάδα φωνήν, μετ᾽ ἐπιμελείας μετέφρασα. συνέταξα δὲ ταύτῃ τὰ ἐλλείποντα ἐξ ἑτέρων Ἀκολουθιῶν. οἱ τοίνυν ἀτενίζοντες ἐν αὐτῷ, ἀναγινώσκοντες δέ, καὶ μετὰ καθαρᾶς καὶ συντετριμμένης καρδίας δεόμενοι, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτεύξονται.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

Δέξαθε οὖν ὦ φιλόχριστοι, καὶ ἀκαταπαύστως ἱκετεύσατε τὸν Σωτῆρα Χριστὸν, μὴ ἐπιλαθόμενοι κἀμοῦ τοῦ ἁμαρτωλοῦ.

Κωνσταντῖνος Καντακουζηνὸς ὁ καὶ τῆς
Οὐγγροβλαχίας Ἡγεμών.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

ΑΚΟ-

www.tezaurliturgic.ro


# ΑΚΟΛΟΥΘΙΑ

## ΣΥΝ ΘΕΩ͂ ΑΓΙΩ,

# ΤΟΥ͂ ΓΛΥΚΥΤΑΤΟΥ ΙΗΣΟΥ͂·

## ἮΤΟΙ ΤΟΥ͂ ΑΓΙΟΥ

# ΜΑΝΔΗΛΙΟΥ.

Εἰς τὰς ιϛʹ. τοῦ Αὐγούστου Μηνός. μετὰ τῶν Οἴκων, καὶ μὲ μίαν ἀρχὴν εἰς τὸ τέλος.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους, ηʹ. καὶ ψάλλομεν στιχηρὰ προσόμοια πέντε, ἦχος, βʹ.

Ποίοις εὐφημιῶν στέμμασι; δευτεροῦντες τά, βʹ.

Ποίοις οἱ γηγενεῖς ὄμμασιν, ἐποψώμεθά σου τὴν εἰκόνα, ἣν τὰ τῶν Ἀγγέλων στρατεύματα, βλέπειν ἀδεῶς οὐ δεδύνηνται, θεϊκῷ φωτὶ ἀστράπτουσαν; ἀπαίρει γὰρ ἀπὸ γῆς ἀπίστων σήμερον, καὶ πόλιν πρὸς βασιλίδα, καὶ λαὸν εὐσεβῆ. ἐπιδημεῖ θείᾳ νεύσει, ἧς πρὸ τῇ εἰσόδῳ ἐπιφαίνονται Βασιλεῖς, προσπίπτοντες ταύτῃ, μετὰ φόβου Χριστὲ καὶ πίστεως:~

Δίς.

Ποί-

www.tezaurliturgic.ro

Ποίαις οἱ χοϊκοὶ ψαύσωμεν, τῆς εἰκόνος σου Λόγε παλάμαις; οἱ ῥερυπωμένοι τοῖς πταίσμασι, τοῦ ἀναμαρτήτου Θεοῦ ἡμῶν, οἱ ἐν μολυσμοῖς τοῦ ἀπροσίτου. καλύπτει τὰ Χερουβὶμ τὰς ὄψεις τρέμοντα. οὐ φέρει τὰ Σεραφὶμ ὁρᾶν τὴν δόξαν σου. φόβῳ δουλεύει σοι Κτίσις. μὴ οὖν κατακρίνῃς ἀναξίως σου τὴν μορφὴν, Χριστὲ τὴν φρικτὴν, ἀσπαζομένους ἡμᾶς ἐκ πίστεως:~

Δίς.

Πάλιν Δεσποτικῆς πάρεστι, πανηγύρεως θεία ἡμέρα. ὁ γὰρ ἐν ὑψίστοις καθήμενος, νῦν ἡμᾶς σαφῶς ἐπεσκέψατο, διὰ τῆς σεπτῆς αὐτοῦ εἰκόνος. ὁ ἄνω τοῖς Χερουβὶμ ὢν ἀθεώρητος, ὁρᾶται διὰ γραφῆς οἷς πρὶν ὡμοίωται, Πατρὸς ἀχράντῳ δακτύλῳ, μορφωθεὶς ἀῤῥήτως, καθ' ὁμοίωσιν τὴν αὐτοῦ, ἣν πίστει καὶ πόθῳ, προσκυνοῦντες ἁγιαζόμεθα:~

Καὶ τῆς ἑορτῆς τέσσαρα, ἦχος, ά.

Αὐτόμελα.

Ὢ τοῦ παραδόξου θαύματος, ἡ πηγὴ τῆς ζωῆς, ἐν μνημείῳ τίθεται, καὶ κλίμαξ πρὸς οὐρανὸν, ὁ τάφος γίνεται. εὐφραίνου Γεθσημανῆ, τῆς Θεοτόκου τὸ Ἅγιον τέμενος. βοήσωμεν οἱ πιστοὶ, τὸν Γαβριὴλ κεκτημένοι ταξίαρχον. Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ διὰ σοῦ τὸ μέγα ἔλεος:~

Βαβαὶ τῶν σῶν μυστηρίων Ἁγνή. τοῦ ὑψίστου θρόνος, ἀνεδείχθης Δέσποινα, καὶ γῆθεν πρὸς Οὐρανὸν, μετέστης σήμερον. ἡ δόξα σου εὐπρεπὴς, θεοφεγγέσιν ἐκλάμπουσα χάρισι. Παρθένοι σὺν τῇ Μητρὶ, τοῦ Βασιλέως πρὸς ὕψος ἐπάρθητε. Κεχαριτωμένη

χαῖρε,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

Τὴν σὴν δοξάζουσι κοίμησιν, ἐξουσίαι θρόνοι, ἀρχαὶ κυριότητες, δυνάμεις καὶ Χερουβὶμ, καὶ τὰ φρικτὰ Σεραφίμ. ἀγάλλονται γηγενεῖς, ἐπὶ τῇ θείᾳ σου δόξῃ κοσμούμενοι. προσπίπτουσι Βασιλεῖς, σὺν Ἀρχαγγέλοις Ἀγγέλοις καὶ μέλπουσι. Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

Δόξα, ἦχος, δ᾽.

Εὐφραίνεται σήμερον ἡ ἐξ ἐθνῶν Ἐκκλησία, τῷ τιμίῳ καὶ ζωηρρύτῳ αἵματι, τῆς ἀχράντου καὶ ἀκηράτου πλευρᾶς, τοῦ σαρκωθέντος ἐκ τῆς Ἁγίας Παρθένου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. διὸ ἀθροισθεῖσαι τῶν πιστῶν αἱ χορεῖαι, δοξάσωμεν τὸν Πατέρα, καὶ Υἱὸν, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν μίαν θεότητα, τὴν κρατοῦσαν τὰ σύμπαντα. Καὶ νῦν, ὁ αὐτός.

Τὴν πάνσεπτόν σου κοίμησιν Πανάγια Παρθένε Ἁγνὴ, τῶν Ἀγγέλων τὰ πλήθη ἐν Οὐρανῷ, καὶ ἀνθρώπων τὸ γένος ἐπὶ τῆς γῆς μακαρίζομεν, ὅτι Μήτηρ γέγονας τοῦ Ποιητοῦ τῶν ἁπάντων Χριστοῦ τοῦ Θεοῦ. αὐτὸν ἱκετεύουσα, ὑπὲρ ἡμῶν μὴ παύσῃ δεόμεθα, τῶν εἰς σὲ μετὰ Θεὸν, τὰς ἐλπίδας θεμένων, Θεοτόκε πανύμνητε καὶ ἀπειρόγαμε.

Τὸ προκείμενον τῆς ἡμέρας.

Εἴσοδος, φῶς ἱλαρόν. Καὶ τὰ ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Πνεῦμα Κυρίου ἐπ᾽ ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι

τοὺς

www.tezaurliturgic.ro

τοὺς συντετριμμένους τῇ καρδίᾳ, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. καλέσαι ἐνιαυτὸν Κυρίου δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως, παρακαλέσαι πάντας τοὺς πενθοῦντας, δοθῆναι τοῖς πενθοῦσι Σιὼν, δόξαν ἀντὶ σποδοῦ, ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσι, καταστολὴν δόξης, ἀντὶ πνεύματος ἀκηδίας. καὶ κληθήσονται γενεαὶ δικαιοσύνης, φύτευμα Κυρίου εἰς δόξαν. καὶ οἰκοδομήσουσιν ἐρήμους αἰωνίους, ἐξηρημωμένας πρότερον, ἐξαναστήσουσι, καὶ καινιοῦσι πόλεις ἐρήμους, ἐξηρημωμένας εἰς γενεάς. καὶ ἥξουσιν ἀλλογενεῖς, ποιμαίνοντες τὰ πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρες, καὶ ἀμπελουργοί. ὑμεῖς δὲ ἱερεῖς Κυρίου κληθήσεσθε, λειτουργοὶ Θεοῦ ἡμῶν, ῥηθήσεται ὑμῖν. ἰσχὺν ἐθνῶν κατέδεσθε, καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε. οὕτως ἐκ δευτέρου κληρονομήσουσι τὴν γῆν, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. ἐγὼ γάρ εἰμι Κύριος, ὁ ἀγαπῶν δικαιοσύνην, καὶ μισῶν ἅρπαγμα ἐξ ἀδικίας, καὶ δώσω τὸν μόχθον αὐτῶν δικαίοις, καὶ διαθήκην αἰώνιον διαθήσομαι αὐτοῖς. καὶ γνωσθήσεται ἐν ἔθνεσι τὸ σπέρμα αὐτῶν, καὶ τὰ ἔκγονα αὐτῶν, ἐν μέσῳ τῶν λαῶν. πᾶς ὁ ὁρῶν αὐτοὺς, ἐπιγνώσεται αὐτοὺς, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον ὑπὸ Θεοῦ, καὶ εὐφροσύνῃ εὐφρανθήσονται ἐπὶ Κύριον.

## Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ, ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με. ὡς Νυμφίῳ περιέθηκέ μοι Μίτραν, καὶ ὡς Νύμφην, κατεκόσμησέ με Κόσμῳ. καὶ ὡς γῆ αὔξουσα τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ ἐκ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

φύει, οὕτως ἀνατελεῖ Κύριος δικαιοσύνην, καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν. διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη αὐτῆς, τὸ δὲ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται. Καὶ ὄψονται οἱ Βασιλεῖς τῆς γῆς τὴν δόξαν σου, Καὶ καλέσει σε τὸ ὄνομά σου τὸ καινὸν ὃ ὁ Κύριος ὀνομάσει αὐτό. καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, καὶ διάδημα Βασιλείας ἐν χειρὶ Θεοῦ σου. καὶ οὐκέτι κληθήσῃ καταλελειμμένη, καὶ ἡ γῆ σου οὐκ ἔτι κληθήσεται ἔρημος, σοὶ γὰρ κληθήσεται, θέλημα τὸ ἐμόν, καὶ τῇ γῇ σου, οἰκουμένη, ὅτι εὐδοκήσει Κύριος ἐν σοί, καὶ ἡ γῆ σου συνοικισθήσεται. Καὶ ὡς συνοικῶν νεανίσκος παρθένῳ, οὕτω κατοικήσουσιν οἱ Υἱοί σου μετὰ σοῦ, καὶ ἔσται ὃν τρόπον εὐφρανθήσεται Κύριος ἐπὶ σοί.

## Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.

Ἐπίβλεψον ἐκ τοῦ Οὐρανοῦ Κύριε, καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ Ἁγίου σου καὶ δόξης. ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τῶν οἰκτιρμῶν σου, ὅτι ἀνέσχου ἡμῶν Κύριε; σὺ γὰρ ἡμῶν εἶ Πατήρ, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς. ἀλλὰ σὺ Κύριε Πατὴρ ἡμῶν ῥῦσαι ἡμᾶς, ἀπαρχῆς τὸ ὄνομά σου ἐφ᾽ ἡμᾶς ἐστι. τί ἐπλάνησας ἡμᾶς Κύριε ἀπὸ τῆς ὁδοῦ σου; ἐσκλήρυνας τὰς καρδίας ἡμῶν, φοβεῖσθαί σε; ἐπίστρεψον διὰ τοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κληρονομίας σου, ἵνα μικρὸν κληρονομήσωμεν τοῦ ὄρους τοῦ Ἁγίου σου. οἱ ὑπεναντίοι ἡμῶν κατεπάτησαν τὸ ἁγίασμά σου. ἐγενόμεθα ὡς τὸ ἀπ᾽ ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδὲ ἐπεκλήθη τὸ ὄνομά σου ἐφ᾽ ἡμᾶς. ἐὰν ἀνοίξῃς τὸν Οὐρανόν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται ὡσεὶ κηρὸς τήκεται ἀπὸ πυρός, καὶ κατακαύσει

www.tezaurliturgic.ro

πῦρ τοὺς ὑπεναντίους σου, καὶ φανερὸν ἔσται τὸ ὄνομά σου τοῖς ὑπεναντίοις σου· ἀπὸ προσώπου σου ἔθνη ταραχθήσονται. ὅταν ποιῇς τὰ ἔνδοξα, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη. ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον Θεὸν πλήν σου, καὶ τὰ ἔργα σου ἀληθινὰ καὶ ποιήσεις τοῖς ὑπομένουσί σε ἔλεος. συναντήσεται γὰρ ἔλεος τοῖς ποιοῦσι τὸ δίκαιον, καὶ τῶν ὁδῶν σου μνησθήσονται. Καὶ νῦν Πατὴρ ἡμῶν σὺ εἶ, ἡμεῖς δὲ πηλὸς, καὶ σὺ ὁ πλάστης ἡμῶν, ἔργα χειρῶν σου πάντες ἡμεῖς. μὴ ὀργίζου ἡμῖν Κύριε ἕως σφόδρα, καὶ μὴ ἐν καιρῷ μνησθῇς ἁμαρτιῶν ἡμῶν. Καὶ νῦν ἐπίβλεψον Κύριε, ὅτι λαός σου πάντες ἡμεῖς :~

Εἰς τὴν λιτὴν στιχηρὰ ἰδιόμελα. ἦχος, δ'.

Θαυμαστὸν τὸ ὄνομά σου Ἰησοῦ Σωτὴρ ἡμῶν, Ἄγγελοι ὑμνοῦσιν ἐν Οὐρανοῖς, ἡμεῖς δὲ, οἱ ἁμαρτωλοὶ ἐπὶ γῆς πηλίνοις στόμασιν ᾄδομεν, διὸ ἐλέησον ἡμᾶς :~

Τὸ μέγιστον ὄνομα Σῶτερ τὸ σὸν, καθημένου σου ἐκ δεξιῶν τοῦ Πατρὸς ἐν Οὐρανοῖς τιμᾶται, καὶ ἐπὶ γῆς ἡ ἄρρητός σου σάρκωσις δοξάζεται. ἡ δὲ ἐν ᾅδῃ κάθοδος, ἀπειλὴν καταγγέλλει τοῖς δαίμοσι. ἐξ ὧν καὶ ἡμᾶς Χριστὲ ὁ Θεὸς λύτρωσαι, καὶ σῶσον ἡμᾶς :~

Ἀββακοὺμ, ὡς ἐν αἰνίγματι κατανοῶν ἔργα τὰ σὰ θαυμάσια, ἐν φόβῳ ἐξέστη, τῶν χρόνων ἐγγιζόντων, πόρναις καὶ λῃσταῖς Ἰησοῦ ἀνεδείχθης. ἐγὼ δὲ ὁ ἄθλιος, ἀμερίμνως διαμένω, ἀλλὰ δίδου μοι ἀπὸ τοῦ νῦν τὴν σύνεσιν, καὶ τὸν φόβον σου εὔσπλαγχνε, καὶ τὸ μέγα ἔλεος :~

Δόξα. ἦχος, πλ. β'.

Φοβερὸς εἶ Κύριε, καὶ τίς ὑποστήσεται τῆς δικαίας σου ὀργῆς; ἢ τίς σε δυσωπήσει, ἢ τίς παρακαλέσει ἀ-

γα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

γαθὲ, ὑπὲρ λαοῦ ἡμαρτηκότος, καὶ ἀπεγνωσμένου; τὰ Οὐράνια τάγματα, Ἄγγελοι, Ἀρχαὶ καὶ Ἐξουσίαι, Θρόνοι, Κυριότητες, τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ, ὑπὲρ ἡμῶν σοὶ βοῶσιν. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε. τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς ἀγαθέ. διὰ σπλάγχνα ἐλέους, σῶζε ἡμᾶς οὓς ἔπλασας:~

Καὶ νῦν, τῆς ἑορτῆς. Ὁ αὐτός.

Δεῦτε τὴν παγκόσμιον κοίμησιν, τῆς πανάμωμου Θεοτόκου ἑορτάσωμεν. σήμερον γὰρ Ἄγγελοι πανηγυρίζουσι, τὴν σεπτὴν μετάστασιν τῆς Θεομήτορος. καὶ πρὸς εὐωχίαν ἡμᾶς, τοὺς γηγενεῖς συγκαλοῦσι, τῇ βοᾷν ἀσιγήτῳ φωνῇ. χαῖρε ἡ μεταστᾶσα ἀπὸ γῆς, καὶ πρὸς Οὐρανίους μονὰς μετοικήσασα. χαίροις ἡ τῶν μαθητῶν τὸν χορὸν, διὰ νεφέλης κούφης εἰς ἓν συναγαγοῦσα. χαίροις ἡ ἐλπὶς καὶ προστασία ἡμῶν, σὲ γὰρ Χριστιανῶν τὸ γένος, ἀπαύστως μακαρίζομεν:~

Εἰς τὸν στ. στ. ἰδιόμελα. ἦχος, πλ. β'.

Σωτήρ μου Ἰησοῦ, ὁ τὸν ἄσωτον σώσας, Σωτήρ μου Ἰησοῦ ὁ τὴν πόρνην δεξάμενος κἀμὲ νῦν ἐλέησον Ἰησοῦ πολυέλεε, σῶσον καὶ οἴκτειρον, ὦ Ἰησοῦ εὐεργέτα, ὡς τὸν Μανασσῆν Ἰησοῦ μου, εὔσπλαγχνε, ὡς μόνος φιλάνθρωπος.

στ. Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου.

Μηδεμίαν ἐπὶ γῆς τῶν ἐντολῶν σου τελέσας, πῶς σοὶ τῷ ἐπὶ θρόνου καθαζομένῳ φανήσωμαι καὶ λόγον ἀποδώσω, καὶ κρίσιν ποιήσωμαι περὶ πάντων, ὧν ἐν γνώσει καὶ ἀγνοίᾳ καθ' ἑκάστην εἰργασάμην Χριστέ μου Ἰησοῦ; ὅθεν κραυγάζω σοι, ἱκεσίαις τῶν σῶν δούλων Ἰησοῦ σῶσόν με τὸν ἁμαρτωλόν:~

www.tezaurliturgic.ro

Στ. Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου.

Τίς οὐ θρηνήσει με Ἰησοῦ τὸν παραβεβηκότα τὴν σὴν ἐντολὴν διὰ τῆς ἀκρασίας μου; τὸν ᾅδην Ἰησοῦ ἀντὶ παραδείσου ᾠκειωσάμην. γλυκέα τῇ ὁράσει, τὸν θάνατον μεσιτεύοντα κατέφαγον, καὶ τῆς σῆς Σωτήρ μου Ἰησοῦ δόξης γέγονα καὶ ζωῆς ἀλλότριος. ἀλλὰ δέξαι με μετανοοῦντα, ὡς ἐλεήμων καὶ φιλάνθρωπος Ἰησοῦ μου, διὰ τὸ μέγα σου ἔλεος.

Δόξα. ἦχος, β΄.

Τῆς γῆς συνταρασσομένης τῷ τῆς ὀργῆς σου φόβῳ, βουνοὶ καὶ τὰ ὄρη συσσείονται Κύριε, ἀλλ' εὐσπλαγχνίας ὄμματι ἐφ' ἡμᾶς ἐπιβλέψας, μὴ τῷ θυμῷ σου ὀργισθῇς ἡμῖν, ἀλλὰ σπλαγχνισθεὶς ἐπὶ τὸ πλάσμα τῶν χειρῶν σου, τῆς φοβερᾶς ὀργῆς ἡμᾶς ἐλευθέρωσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ νῦν, ὁ αὐτός.

Ἡ τῶν Οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα, καὶ πάσης κτίσεως τιμιωτέρα, ἡ δι' ὑπερβάλλουσαν καθαρότητα, τῆς ἀϊδίου οὐσίας δοχεῖον γεγενημένη, ἐν ταῖς τοῦ Υἱοῦ χερσί, σήμερον τὴν παναγίαν παρατίθεται ψυχήν. καὶ σὺν αὐτῇ πληροῦνται τὰ σύμπαντα χαρᾶς, καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον, ἦχος, β΄.

Τὴν ἄχραντον εἰκόνα σου προσκυνοῦμεν ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν. βουλήσει γὰρ ηὐδόκησας, σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας, τῆς δουλείας τοῦ ἐχθροῦ. ὅθεν εὐχαρίστως βοῶμέν σοι, χαρᾶς ἐπλήρωσας τὰ πάντα ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος, εἰς τὸ σῶσαι τὸν Κόσμον.

Δό-

www.tezaurliturgic.ro

Δόξα, τὸ αὐτό.

Καὶ νῦν, τῆς ἑορτῆς. ἦχος, ά.

Ἐ'Ν τῇ γεννήσει τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ κοιμήσει τὸν κόσμον οὐ κατέλιπες, Θεοτόκε, μετέστης πρὸς τὴν ζωὴν, Μήτηρ ὑπάρχουσα τῆς ζωῆς, καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Ἀπόλυσις.

Τέλος τοῦ Ἑσπερινοῦ.

Εἰς τὸν Ὄρθρον. μετὰ τὸν Ἑξάψαλμον, Θεὸς Κύριος, εἰς ἦχον, β΄. καὶ ψάλλομεν τὸ Ἀπολυτίκιον, τὴν ἄχραντον εἰκόνα σου. Δόξα τὸ αὐτό. Καὶ νῦν. Ἐν τῇ γεννήσει τὴν παρθενίαν. Μετὰ τὴν ά. στιχολογίαν, καθισμα.

Πρὸς τὸν τάφον σου Σωτήρ.

Ἀ'Γκάλας Πατρικὰς, διανοῖξαί μοι σπεῦσον. ἀσώτως τὸν ἐμὸν, κατηνάλωσα βίον, εἰς πλοῦτον ἀδαπάνητον, ἀφορῶν τῶν οἰκτιρμῶν σου Σωτήρ. νῦν πτωχεύουσαν, μὴ ὑπερίδῃς καρδίαν. σοὶ γὰρ Κύριε ἐν κατανύξει κραυγάζω, ἥμαρτον εἰς τὸν Οὐρανὸν καὶ ἐνώπιόν σου.

Δόξα, ὅμοιον.

ΤΟ' βῆμά σου φρικτὸν, καὶ ἡ κρίσις δικαία, τὰ ἔργα μου δεινὰ, ἀλλ᾽ αὐτὸς Ἐλεῆμον, προφθάσας με διάσωσον, καὶ κολάσεως λύτρωσαι, ῥῦσαι Δέσποτα τῆς τῶν ἐρίφων μερίδος. καὶ ἀξίωσον ἐκ δεξιῶν σου με στῆναι, Κριτὰ δικαιότατε.

Καὶ νῦν, τῆς ἑορτῆς, ὅμοιον.

Ὁ Πάντιμος χορὸς, τῶν σοφῶν Ἀποστόλων, ἠθροίσθη θαυμαστῶς, τοῦ κηδεῦσαι ἐνδόξως, τὸ σῶμά σου τὸ ἄχραντον, Θεοτόκε πανύμνητε, οἷς συνύμνησαν,

καὶ

www.tezaurliturgic.ro

καὶ τῶν Ἀγγέλων τὰ πλήθη, τὴν μετάστασιν τὴν σὴν, σεπτῶς ἀνευφημοῦντες. ἣν πίστει ἑορτάζομεν.

Εἶτα ψάλλομεν τὸ παρὸν κοντάκιον, ἀργῶς καὶ μετὰ μέλους, εἰς ἦχον, πλ. δ΄.

Κύριε ὑπέρμαχε Στρατηγὲ τοῦ ᾅδου Νικητά.
Ὡς λυτρωθεὶς ἐκ τοῦ αἰωνίου θανάτου.
Ἀναγράφω σοι τὸ κτίσμα καὶ δοῦλος σὸς τὰ νικητήρια.
Ἀλλ᾽ ὡς ἔχων ἀσπλαγχνίαν ἀνερμήνευτον.
Ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον.
Κράζοντα Ἰησοῦ Υἱὲ Θεοῦ ἐλέησόν με.

Εἶτα τοὺς ιβ΄ οἴκους.

Ἄγγελων Ποιητὰ καὶ Κύριε τῶν δυνάμεων, ἄνοιξόν μου τὸν ἄπορον νοῦν καὶ τὴν γλῶτταν μου εἰς αἴνεσιν τοῦ παναχράντου ὀνόματός σου, καθάπερ ἤνοιξας πάλαι τὴν γλῶτταν τοῦ κωφοῦ τε καὶ μογγιλάλου κραυγάζειν πρὸς σὲ τοιαῦτα.

Ἰησοῦ πανθαύμαστε τῶν Ἀγγέλων ἡ ἔκπληξις.
Ἰησοῦ παντοδύναμε τῶν προπατόρων ἡ λύτρωσις.
Ἰησοῦ γλυκύτατε Πατριαρχῶν τὸ καύχημα.
Ἰησοῦ ὑπερένδοξε Βασιλέων ὀχύρωμα.
Ἰησοῦ ὑπερπόθητε Προφητῶν ἡ ἐκπλήρωσις.
Ἰησοῦ ἐκπληκτικώτατε ἀθλητῶν ἡ κραταίωσις.
Ἰησοῦ ἱλαρώτατε μοναζόντων τερπνότης.
Ἰησοῦ πανελεῆμον Πρεσβυτέρων γλυκύτης.
Ἰησοῦ ὑπερήδιστε χαρμοσύνη δικαίων.
Ἰησοῦ ὑπερεύσπλαγχνε ἐγκράτεια νηστευόντων.
Ἰησοῦ μου πάντιμε σωφροσύνη Παρθένων.
Ἰησοῦ προαιώνιε Σωτηρία πταιόντων.

Ἰησοῦ Υἱὲ Θεοῦ ἐλέησόν με.

www.tezaurliturgic.ro

Βλέπων Κύριε τὴν χήραν θρηνοῦσαν σφόδρα, συμπαθήσας τὸν Υἱὸν αὐτῆς ἐπὶ τὸν τάφον φερόμενον ἀναστήσας, σπλαγχνίσθητι κἀμὲ φιλάνθρωπε, καὶ τὴν ταῖς ἁμαρτίαις θανοῦσαν μου ψυχὴν ἀνάστησον κράζουσαν :~

Ἀλληλούϊα.

Γνῶσιν ἄγνωστον γνῶναι ζητῶν ὁ Φίλιππος δεῖξον ἡμῖν Κύριε ἔλεγε τὸν Πατέρα, σὺ δὲ πρὸς αὐτὸν, ὅτι ὁ Πατὴρ ἐν ἐμοὶ, κἀγὼ ἐν τῷ Πατρὶ, διὸ ἀνεξιχνίαστε κἀγὼ φόβῳ κραυγάζω σοι :~

Ἰησοῦ Θεὲ προαιώνιε.

Ἰησοῦ Βασιλεῦ παντοδύναμε.

Ἰησοῦ Δέσποτα μακρόθυμε.

Ἰησοῦ Σωτὴρ πολυέλεε.

Ἰησοῦ Φύλαξ μου ὑπεράγαθε.

Ἰησοῦ τὰς ἁμαρτίας μου πάριδε.

Ἰησοῦ ἄνελε τὰς ἐμὰς ἀνομίας.

Ἰησοῦ ἄφες τὰς ἐμὰς ἀδικίας.

Ἰησοῦ ἐμὴ ἡ ἐλπὶς μὴ ἐάσῃς με.

Ἰησοῦ Βοηθὲ μὴ ἀπορρίψῃς με.

Ἰησοῦ Ποιητὰ μὴ ἀπώσῃ με.

Ἰησοῦ Ποιμὴν μὴ ἀπολέσῃς με.

Ἰησοῦ Υἱὲ Θεοῦ ἐλέησόν με.

Δύναμιν ἐξ ὕψους τοὺς Ἀποστόλους ἐν Ἱερουσαλὴμ καθημένους περιβαλλόμενος Κύριε, κἀμὲ τὸν πάσης ἀγαθοποιΐας γεγυμνωμένον περίβαλε τῇ ζέσει τοῦ Ἁγίου σου Πνεύματος, καὶ δός μοι μετὰ πόθου ψάλλειν σοι :~

Ἀλληλούϊα.

Ἔχων πλοῦτον εὐσπλαγχνίας, Τελώνας καὶ ἁμαρτωλοὺς, καὶ ἀπίστους ἐκάλεσας Ἰησοῦ. μὴ παρίδῃς κἀμὲ

τὸν

www.tezaurliturgic.ro

τὸν ὁμοιωθέντα αὐτοῖς, ἀλλ' ὡς πολύτιμον μύρον πρόσδεξαι τὸν ὕμνον τοῦτον.

Ἰησοῦ δύναμις ἄμαχος.
Ἰησοῦ ἔλεος ἀτελεύτητος.
Ἰησοῦ ὡραιότης ὑπέρλαμπρος.
Ἰησοῦ ἔφεσις ἄφραστος.
Ἰησοῦ Υἱὲ Θεοῦ ζῶντος.
Ἰησοῦ ἁμαρτωλῶν σωτηρία ὄντως.
Ἰησοῦ ἐπάκουσόν μου τὸν συλληφθέντα ἐν ἀνομίαις.
Ἰησοῦ καθάρισόν με τὸν τεχθέντα ἐν ἁμαρτίαις.
Ἰησοῦ τὸν ἀχρεῖόν με δίδαξον.
Ἰησοῦ τὸν ἐν σκότει με φώτισον.
Ἰησοῦ τὸν ῥυπαρόν με καθάρισον.
Ἰησοῦ τὸν ἄσωτόν με μετάστρεψον.

Ἰησοῦ Υἱὲ Θεοῦ ἐλέησόν με.

Ζάλην ἔνδοθεν ἔχων λογισμῶν ἀμφιβόλων, ὁ Πέτρος κατεκλύζετο. ἰδὼν δέ σε Ἰησοῦ ἐν σαρκὶ πεφυκότα, κἀν τοῖς ὕδασι πορευόμενον, ἐπέγνω σε Θεὸν ἀληθῆ, καὶ τῆς σωτηρίας σου λαβόμενος δεξιᾶς ἔλεγεν.

Ἀλληλούϊα.

Καὶ πάλιν τὸ κοντάκιον. Κύριε ὑπέρμαχε.

Μετὰ τὴν β'. στιχολογίαν κάθισμα. ἦχος γ'.

Τὴν ὡραιότητα.

Τὰ ἐπουράνια, καὶ τὰ ἐπίγεια, λόγῳ παρήγαγες, ὡς Παντοδύναμος. οἱ τῶν Ἀγγέλων δὲ χοροὶ, σὺν τρόμῳ παρεστηκότες, ἄπαυστον τὴν αἴνεσιν, σοὶ προσφέρουσι Δέσποτα, πάντα καταυγάζοντες, τῷ φωτί σου τὰ πέρατα, δι' ὧν σοὶ καὶ ἡμεῖς ἐκβοῶμεν, σῶσον ἡμᾶς τῇ εὐσπλαγχνίᾳ σου.


ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

Δόξα, τὸ αὐτό. Καὶ νῦν, τῆς ἑορτῆς.

Εἰς τὰ οὐράνια, ἡ νοερά σου ψυχή, εἰς τὸν Παράδεισον, ἡ καθαρά σου σκηνή, μετατεθεῖσα ἐκ φθορᾶς, ἀγάλλεται Παναγία. ὅθεν ἀνταπέδωκε, τοῖς ἀνόμοις ὁ Κύριος. δόλον γὰρ εἰργάσαντο, τῷ τιμίῳ λειψάνῳ σου. διὸ σὺν Ἀποστόλοις βοῶμεν, χαῖρε ἡ Κεχαριτωμένη.

Καὶ πάλιν τὸ κοντάκιον. Κύριε ὑπέρμαχε.

Καὶ τοὺς ἑξ οἴκους.

Ἤκουσεν ὁ τυφλὸς δι' ὁδοῦ σε βαδίζοντα Κύριε, καὶ ἐβόησε Ἰησοῦ Υἱὲ Δαβὶδ ἐλέησόν με. καθάπερ ἐκεῖνον τὸν ἐπικαλεσάμενον οἰκτείρας, διανοίξας αὐτοῦ τὰ ὄμματα, οὕτω φώτισον κἀμοῦ τοὺς νοεροὺς ὀφθαλμοὺς τῷ ἐλέει σου, ὅπως κἀγὼ παῤῥησίᾳ σοι κράζω.

Ἰησοῦ τῶν ἄνω ὁ Ποιητής.
Ἰησοῦ τῶν κάτω Ἐξαγοραστής.
Ἰησοῦ τῶν καταχθονίων ὁ Παντολέτωρ.
Ἰησοῦ πάσης κτίσεως ὁ Κοσμήτωρ.
Ἰησοῦ τῆς ἐμῆς ψυχῆς ἡ παραμυθία.
Ἰησοῦ τοῦ νοός μου ἡ φωταυγία.
Ἰησοῦ τῆς καρδίας μου ἀγαλλίασις.
Ἰησοῦ τοῦ σώματός μου ὑγίανσις.
Ἰησοῦ Σωτήρ με διάσωσον.
Ἰησοῦ λαμπρότης με φώτισον.
Ἰησοῦ τυραννίδος παντοίας ἀπάλλαξον.
Ἰησοῦ τὸν ἀνάξιον φύλαξον.

Ἰησοῦ Υἱὲ Θεοῦ ἐλέησόν με.

Θεοῤῥύτῳ αἵματι, καθάπερ πάλαι Ἰησοῦ, ἐξηγόρασας κατάρας τῆς νομικῆς, οὕτως ἐξέλου καὶ τῆς παγίδος τοῦ ὄφεως, μεθ' ἧς πάθεσι σαρκὸς, ἐν κενῷ ἀσωτίας

www.tezaurliturgic.ro



ἐπτόρμισεν ἡμᾶς, πεδήσας τῇ φαύλῃ ῥαθυμίᾳ, ἵνα κράζωμέν σοι· Ἀλληλούϊα.

Ἴδον παῖδες Ἑβραίων ἐν μορφῇ ἀνθρωπίνῃ τὸν πλάσαντα χειρὶ τὸν ἄνθρωπον, καὶ Δεσπότην νοοῦντές σε, ἐσπούδασαν τοῖς κλάδοις θεραπεῦσαι, τὸ ὡσαννὰ βοῶντες. ἡμεῖς δὲ τὸν ὕμνον προσφέρομέν σοι λέγοντες·

Ἰησοῦ Θεὲ μου ἀληθινέ.

Ἰησοῦ τοῦ Δαβὶδ κατὰ τὴν σάρκα Υἱέ.

Ἰησοῦ Βασιλεῦ ὑπερένδοξε.

Ἰησοῦ ἀμνὲ πανακήρατε.

Ἰησοῦ σοφὲ τῆς νεότητός μου.

Ἰησοῦ βακτηρία τοῦ γήρως μου.

Ἰησοῦ ἐν θανάτῳ ἀπαντοχή.

Ἰησοῦ μετὰ θάνατον ἡ ζωή.

Ἰησοῦ ὅταν ἔλθῃς ἐν δόξῃ τοῦ κρῖναι με.

Ἰησοῦ τηνικαῦτα μὴ καταισχύνῃς με.

Ἰησοῦ Υἱὲ Θεοῦ ἐλέησόν με.

Κηρύκων θεοφθόγγων τὰς ῥήσεις, ἐκπληρῶν Ἰησοῦ ἐπὶ τῆς γῆς ὤφθης, καὶ τοῖς ἀνθρώποις ὁ ἀχώρητος συνανεστράφης, καὶ τὰς ἡμῶν ἐβάστασας ἀσθενείας. διὸ καὶ τοὺς μώλωπας ὑπὸ σοῦ ἰαθέντες, ἐδιδάχθημεν ψάλλειν· Ἀλληλούϊα.

Λάμψας τῇ οἰκουμένῃ φωτισμὸν ἀληθείας, τὴν πλάνην ἀπήλασας τῶν δαιμόνων. τὰ γὰρ εἴδωλα Σωτὴρ μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν πέπτωκε, ἡμεῖς δὲ σωτηρίας τυχόντες βοῶμέν σοι·

Ἰησοῦ αὐτοαλήθεια τὴν ἀπάτην καθελών.

Ἰησοῦ φῶς ὑπέρτατον πάντα φῶτα νικῶν.

Ἰησοῦ ὁ ἄρτος τῆς ζωῆς, θρέψον με τὸν πεινῶντα.

Ἰησοῦ

www.tezaurliturgic.ro


Ἰησοῦ ἡ πηγὴ τῆς γνώσεως, πότισόν με τὸν διψῶντα.
Ἰησοῦ τὸν φθαρέντα με, εὐφροσύνης ἱμάτιον ἔνδυσον.
Ἰησοῦ ἡ τῆς χαρᾶς ὀροφὴ, σκέπασον τὸν ἀνάξιον.
Ἰησοῦ παράσχου, ταῖς ἁμαρτίαις μου συντριβήν.
Ἰησοῦ δώρησαι, ταῖς ἐμαῖς ἀνομίαις ἐπιστροφήν.
Ἰησοῦ πᾶσαν μου, πορνείαν ἐξάλειψον.
Ἰησοῦ ἀπολλυμένην, τὴν ψυχήν μου διάσωσον.

Ἰησοῦ Υἱὲ Θεοῦ ἐλέησόν με.

Μέλλων ἀποκαλύψαι κεκρυμμένον ἀπὸ τοῦ αἰώνος μυστήριον, ὡς ἀμνὸς ἤχθης ἐπὶ σφαγὴν Ἰησοῦ. καὶ ὡς ἀμνίον ἐναντίον τοῦ κείροντος ἄφωνος. ἠγέρθης δὲ Θεὸς ὢν ἐκ τῶν νεκρῶν, καὶ μετὰ δόξης ἀνῆλθες εἰς Οὐρανοὺς, καὶ ἡμᾶς ἀνήγαγες κράζοντάς σοι·

Ἀλληλούϊα.

Καὶ πάλιν τὸ κοντάκιον. Κύριε ὑπέρμαχε.

Εἶτα τὸν πολυέλεον. Καὶ τὰ καθίσματα. ἦχος, δ'.

Κατεπλάγη Ἰωσήφ.

Ἀναλόγισαι ψυχὴ, πῶς παραστῶμεν τῷ Κριτῇ, ἐν τῇ ὥρᾳ τῇ φρικτῇ, τίθενται θρόνοι φοβεροὶ, καὶ τῶν ἀνθρώπων αἱ πράξεις διελέγχονται. τότε ὁ Κριτὴς ἀδυσώπητος. πρὸ βήματος γὰρ πῦρ, προπορεύεται, ὥσπερ ἀγρία θάλασσα σὺν ἤχῳ, κατακαλύπτον τοὺς πταίσαντας. ἀναλογίζου ταῦτα ψυχή μου, καὶ τὰ ἔργα σου εὔθυνον·

Δόξα, τὸ αὐτό. Καὶ νῦν, τῆς ἑορτῆς.

Ἐν χερσὶ τοῦ δι' ἡμᾶς, ἐνανθρωπίσαντος ἐκ σοῦ, παραθεμένην τὴν ψυχὴν, ὡς πλαστουργός σου καὶ Θεὸς, πρὸς τὴν ἀκήρατον μετέστησεν εὐφροσύνην. ὅθεν σε σεπτῶς μακαρίζομεν, τὴν μόνην καθαρὰν καὶ ἀμόλυντον,

www.tezaurliturgic.ro

καὶ Θεοτόκον ἅπαντες, κυρίως ὁμολογοῦντες κραυγάζομεν, Χριστὸν δυσώπει, πρὸς ὃν μετέστης, σῶσαι τὰς ψυχὰς ἡμῶν:~

Οἱ ἀναβαθμοὶ, τὸ ά. Ἀντίφωνον τοῦ τετάρτου ἤχου, προκείμενον, ἦχος, δ΄. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι. Στ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη. Πᾶσα πνοή. Εὐαγγέλιον.

Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους. τοῦτό ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱὸν, καὶ πιστεύων εἰς αὐτὸν, ἔχῃ ζωὴν αἰώνιον, καὶ ἀναστήσω αὐτὸν ἐγὼ, τῇ ἐσχάτῃ ἡμέρᾳ. Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν· ἐγώ εἰμι ὁ ἄρτος, ὁ καταβὰς ἐκ τοῦ Οὐρανοῦ, καὶ ἔλεγον· οὐχ οὗτός ἐστιν ὁ Ἰησοῦς, ὁ Υἱὸς Ἰωσὴφ, οὗ ἡμεῖς οἴδαμεν τὸν Πατέρα καὶ τὴν Μητέρα; πῶς οὖν λέγει οὗτος, ὅτι ἐκ τοῦ Οὐρανοῦ καταβέβηκα; ἀπεκρίθη οὖν ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτοῖς. μὴ γογγύζετε μετ᾽ ἀλλήλων. οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με, ἑλκύσῃ αὐτὸν, καὶ ἐγὼ ἀναστήσω αὐτὸν, ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ:~

Ἀνάστασιν Χριστοῦ, καὶ ὁ Πεντηκοστός. Δόξα.

Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς ἡ ἐν μονάδι, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου. Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου. Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Εἶτα τὸν Κανόνα, εἰς, ή.

Ὠδὴ, ά. ἦχος, β΄. Ἐν βυθῷ κατέστρωσε ποτέ.

Ἰησοῦ γλυκύτατε Χριστὲ, Ἰησοῦ μακρόθυμε, τὰ τῆς ψυχῆς μου θεράπευσον τραύματα, Ἰησοῦ καὶ γλύκανον,

www.tezaurliturgic.ro


μον, τὴν καρδίαν μου Πολυέλεε δέομαι, Ἰησοῦ Σωτήρ μου, ἵνα μεγαλύνωσε σωζόμενος:~

Ἰησοῦ γλυκύτατε Χριστὲ, Ἰησοῦ διάνοιξον, τῆς μετανοίας μοι πύλας φιλάνθρωπε, Ἰησοῦ δὲ δέξαι με, σοὶ προσπίπτοντα καὶ θερμῶς ἐξαιτούμενον, Ἰησοῦ Σωτήρ μου, τῶν πλημμελημάτων τὴν συγχώρησιν:~

Ἰησοῦ γλυκύτατε Χριστὲ, Ἰησοῦ ἐξάρπασον, ἐκ τῆς χειρὸς τοῦ δολίου βελίαρ με, Ἰησοῦ δὲ ποίησον, δεξιὸν παραστάτην τῆς δόξης σου, Ἰησοῦ Σωτήρ μου, μοίρας εὐωνύμου λυτρωσάμενος:~

Θεοτοκίον.

Ἰησοῦν γεννήσασα Θεὸν, Δέσποινα δυσώπησον, ὑπὲρ ἀχρείων οἰκετῶν Παναχραντε, ὅπως τῆς κολάσεως, ταῖς πρεσβείαις σου λυτρωθῶμεν Ἀμόλυντε, οἱ μεμολυσμένοι, δόξης ἀϊδίου ἀπολαύσαντες.

Ἕτερος Κανὼν τῆς ἁγίας Εἰκόνος. οὗ ἡ ἀκροστιχίς.
Σῆς ἐκφράγισμα Σῶτερ ὄψεως σέβω.

Ὠδὴ, α. ἦχος, πλ. β΄.
Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ.

Σωματικῶς μορφωθῆναι τὸ καθ' ἡμᾶς, ὁ τὸ πρὶν ἀσώματος, εὐδοκίᾳ Πατρικῇ, μὴ ἀπαμειψάμενος μορφῆς, ἐχαρίσατο ἡμῖν θεῖον ἐκτύπωμα:~

Ἡ ἀπαράλλακτος φύσις ὁ τοῦ Πατρὸς, ὅρος ἀκριβέστατος, τὴν βροτείαν ὑπελθὼν, σάρκα ἰδιώματα ἐν γῇ, καταλέλοιπεν ἡμῖν, εἰς οὐρανοὺς ἀνελθών:~

Σαλλομένην ἀπάτῃ τοῦ δυσμενοῦς, τὴν κληρονομίαν σου, ἐδικαίωσας Χριστὲ, τοῖς σεπτοῖς σου πάθεσιν αὐτὴν, ἑδραιώσας δὲ μορφῆς τῷ ἐκτυπώματι.

Θεοτοκίον.

Ἐκ τῶν ἀχράντων σου λαγόνων ὑπερφυῶς, σάρκα δανεισάμενος, ὁ τὸ εἶναι παρέχων, πᾶσι Παναμώμητε βρο-

www.tezaurliturgic.ro



βροτοῖς, καθωράθη, οὐκ ἐκστὰς οὗ ἦν τὸ πρότερον :~

Καταβασία.

ΑΝοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ Βασιλίδι Μητρί. καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων. καὶ ᾄσω γηθόμενος ταύτης τὴν κοίμησιν :~

Ὠδὴ, γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως στερεώσας.

ΕΙσάκουσον φιλάνθρωπε Ἰησοῦ μου, τοῦ δούλου σου βοῶντος ἐν κατανύξει, καὶ ῥῦσαι Ἰησοῦ μου τῆς καταδίκης, καὶ τῆς κολάσεως μόνε μακρόθυμε, Ἰησοῦ γλυκύτατε Πολυέλεε :~

ΥΠόδεξαι τὸν δοῦλόν σου Ἰησοῦ μου, προσπίπτοντα σὺν δάκρυσιν Ἰησοῦ μου. καὶ σῶσον Ἰησοῦ μετανοοῦντα, καὶ τῆς γεέννης με Δέσποτα λύτρωσαι, Ἰησοῦ γλυκύτατε Πολυέλεε :~

ΤΟν χρόνον Ἰησοῦ μου ὃν δέδωκάς μοι, εἰς πάθη ἐδαπάνησα Ἰησοῦ μου, διό με Ἰησοῦ μου μὴ ἀπορρίψῃς, ἀλλ' ἀνακάλεσαι, δέομαι Δέσποτα, Ἰησοῦ γλυκύτατε, καὶ διάσωσον :~

Θεοτοκίον.

ΠΑρθένε ἡ τεκοῦσα τὸν Ἰησοῦν μου, ἱκέτευε ῥυσθῆναί με τῆς γεέννης. ἡ μόνη προστασία τῶν θλιβομένων, θεοχαρίτωτε, καὶ καταξίωσον, τῆς ζωῆς Πανάμωμε τῆς ἀγήρω με.

Ἄλλος. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

ΚΑταστολῇ τῶν ἀρετῶν, περιέδησας Σῶτερ, τὴν σεπτὴν Ἐκκλησίαν, κινήσας βασιλικὴν, καρδίαν σὴν ἀσπασμῷ, ἐκζητῆσαι σοῦ τὸ ἀφομοίωμα :~

ΕΥλῆσαι θέλων τὰ καλὰ, καὶ τῷ χρόνῳ μειῶσαι, ὁ τοῦ φθόνου γεννήτωρ, χερσὶ βεβήλοις αὐτὰ, παρέδωκεν ἀναιδῶς, ἀλλ' ἠλέγχθη, μάτην λογιζόμενος :~

www.tezaurliturgic.ro

Φαιδρῶς ἠγάλλετο ποτὲ, ὁ Δαβὶδ προχορεύων, κιβωτοῦ τῆς ἁγίας. καὶ νῦν ὁ σκῆπτρα λαχὼν, ἰθύνειν βασιλικὰ πλέον χαίρει, θείῳ ἐκτυπώματι.

Θεοτοκίον.

Ῥίζοθεν πᾶσαν ἐκτεμεῖν, τοῦ προπάτορος θέλων, ὁ Υἱός σου Παρθένε, φυεῖσαν παρακοὴν, ἐκ τῆς γαστρός σου Ἁγνὴ, προσλαμβάνει, ὅλον τὸ ἀνθρώπινον.

Καταβασία.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγὴ, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον, καὶ ἐν τῇ θείᾳ μνήμῃ σου στεφάνων δόξης ἀξίωσον.

Εἶτα τὸ Κοντάκιον. Κύριε ὑπέρμαχε.

Καὶ τοὺς ἓξ οἴκους.

Νέαν ἔδειξας Κτίσιν, ἐμφανισθεὶς ἡμῖν ὁ Κτίστης, ἀσπόρως τ' ἐκ Παρθένου τεχθεὶς, ἀδιαφθόρως ἠγέρθης τοῦ μνήματος, καὶ τῶν θυρῶν κεκλεισμένων, ἐπέστης τοῖς σοῖς μαθηταῖς. διὸ καὶ ἡμεῖς θαυμάζοντες βοῶμέν σοι.

Ἰησοῦ Λόγε ἄρρητε.
Ἰησοῦ Λόγε ἀόρατε.
Ἰησοῦ δύναμις ἄπειρος.
Ἰησοῦ σοφία ἀμέτρητος.
Ἰησοῦ Θεότης ἀπερίγραπτος.
Ἰησοῦ Κυριότης ἀπόρθητος.
Ἰησοῦ Βασιλεία ἀκαταμάχητος.
Ἰησοῦ Δεσποτεία ἀτελεύτητος.
Ἰησοῦ ἰσχὺς ὑπερκόσμιος.
Ἰησοῦ ἐξουσία αἰώνιος.
Ἰησοῦ Ποιητά μου οἰκτείρησον.
Ἰησοῦ Σωτήρ μου διάσωσον.

www.tezaurliturgic.ro

Ἰησοῦ Υἱὲ Θεοῦ ἐλέησόν με.

ΞΈνως ὁρῶντες Θεὸν ἐνανθρωπήσαντα, ξενωθῶμεν τοῦ ματαίου κόσμου, τὸν νοῦν εἰς τὰ θεῖα μεταθέντες. διὰ τοῦτο γὰρ ὁ Θεὸς ἐπὶ γῆς κατῆλθεν, ἵνα ἡμᾶς ἀνάξῃ εἰς Οὐρανοὺς κράζοντας:- Ἀλληλούϊα.

ὍΛος ἦν ἐν τοῖς κάτω, καὶ τῶν ἄνω οὐδ᾽ ὅλως ἀπῆν ὁ ἀκατάληπτος. ἔπαθεν ἐπὶ γῆς ἑκουσίᾳ βουλῇ, θανάτῳ θάνατον ἐνέκρωσε, καὶ τῇ ἀναστάσει ζωὴν ἐδωρήσατο, ἡμῖν τοῖς ὑμνοῦσι ταῦτα:-

Ἰησοῦ τῆς καρδίας γλυκύτης.
Ἰησοῦ τοῦ νοὸς ἡ ταχύτης.
Ἰησοῦ τοῦ σώματος ἡ ἰσχύς.
Ἰησοῦ ῥωμαλαιότης ψυχῆς.
Ἰησοῦ χαρὰ συνειδήσεως.
Ἰησοῦ εὐποΐα τῆς γνώσεως.
Ἰησοῦ σοφία ἡ προαιώνιος.
Ἰησοῦ αἴνεσις ὑπερουράνιος.
Ἰησοῦ δόξα ὕψιστος.
Ἰησοῦ ἔφεσις ἀκόρεστος.
Ἰησοῦ Ποιμὴν ἀναζήτησον.
Ἰησοῦ Σωτήρ με διάσωσον.

Ἰησοῦ Υἱὲ Θεοῦ ἐλέησόν με.

ΠΑ͂σα φύσις Ἀγγέλων, ἀπαύστως δοξάζει τὸ πανάγιόν σου ὄνομα, Ἰησοῦ τὸν τρισάγιον ἐν Οὐρανοῖς ἀναβοῶντές σοι. ἡμεῖς δὲ οἱ ἁμαρτωλοὶ χοϊκοῖς χείλεσιν ἐπὶ γῆς, ψάλλομεν τῷ Θεῷ σοι:-

Ἀλληλούϊα.

ῬΉτορας πολυφθόγγους ὡς ἰχθύας ἀφώνους, ὁρῶμεν ἐπὶ σοὶ Σωτὴρ ἡμῶν. ἀποροῦσι γὰρ λέγειν τὸ

www.tezaurliturgic.ro

πῶς Θεὸς ἀναλλοίωτος καὶ ἄνθρωπος τέλειος μένεις. ἡμεῖς δὲ τὸ φρικτὸν μυστήριον θαυμάζοντες, πιστῶς βοῶμεν·
Ἰησοῦ Θεὸς ὁ πρὸ τῶν αἰώνων.
Ἰησοῦ Βασιλεῦ τῶν Βασιλευόντων.
Ἰησοῦ Δεσπότης τῶν Δεσποζόντων.
Ἰησοῦ Κριτὰ τῶν νεκρῶν καὶ ζώντων.
Ἰησοῦ ἐλπὶς τῶν ἀπελπισμένων.
Ἰησοῦ παρακλήτωρ τῶν θλιβομένων.
Ἰησοῦ τῶν πενήτων ἡ προμήθεια.
Ἰησοῦ τῶν κρινομένων ἡ βοήθεια.
Ἰησοῦ πᾶσαν ἀκηδίαν μου διασκόρπισον.
Ἰησοῦ πάσης με πλημμελείας καθάρισον.
Ἰησοῦ τὴν ἐμὴν διάνοιαν λάμπρυνον.
Ἰησοῦ μνήμην θανάτου μοι πάρεξον.
Ἰησοῦ Υἱὲ Θεοῦ ἐλέησόν με.
Ἔσαι θέλων τὸν Κόσμον, ἀνατολὴ ἀνατολῶν εἰς δύσιν ζοφώδη τὴν φύσιν ἡμῶν προσείληφας, μέχρι θανάτου σεαυτὸν ταπεινώσας. διὸ τὸ ὄνομά σου ὑπὲρ πᾶν ὄνομα ὑπερύψωται, καὶ ἐκ πασῶν γενεῶν Οὐρανίων καὶ ἐπιγείων ἀκούεις· Ἀλληλούϊα.
Καὶ πάλιν τὸ Κοντάκιον. Κύριε ὑπέρμαχε.
Εἶτα, συναπτή. καὶ τὰ κάθ. ἦχος, ά. Τὸν τάφον σου.
Σωτήρ μου Ἰησοῦ, ὁ τὸν Ἄσωτον σώσας, Σωτήρ μου Ἰησοῦ, ὁ δεξάμενος Πόρνην, κἀμὲ νῦν ἐλέησον, Ἰησοῦ πολυέλεε, σῶσον οἴκτειρον, ὦ Ἰησοῦ εὐεργέτα, ὦ σωτὴρ εὔσπλαγχνε, τὸν Μανασσῆν Ἰησοῦ μου, ὡς μόνος φιλάνθρωπος· Δόξα, ὅμοιον.
Ἐ'Δέσης Βασιλεῦς, Βασιλέα τῶν ὅλων, οὐ σκῆπτρα καὶ στρατὸν, ἀλλὰ πλήθη θαυμάτων, τῷ λόγῳ προ-

www.tezaurliturgic.ro

φέροντα, ἐπιγνοὺς σε ἱκέτευε, τὸν θεάνθρωπον, τοῦ πρὸς αὐτὸν ἀφικέσθαι. Ἐκμαγεῖον δὲ, ὡς σὲ ὁρῶν ἀνεβόα. Θεὸς σὺ καὶ Κύριος:~

Καὶ νῦν. Θεοτοκίον.

Τὴν ὡραιότητα, τῆς Παρθενίας σου.

ἘΝ τῇ γεννήσει σου, σύλληψις ἄσπορος, ἐν τῇ κοιμήσει σου, νέκρωσις ἄφθορος, θαῦμα ἐν θαύματι διπλοῦν, συνέδραμε Θεοτόκε· πῶς γὰρ ἡ ἀπείρανδρος, βρεφοτρόφος ἁγνεύουσα; πῶς δὲ ἡ μητρόθεος νεκροφόρος μυρίζουσα; διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι. χαῖρε ἡ Κεχαριτωμένη:~

Ὠδὴ, δ'. Ἐλήλυθας ἐκ Παρθένου.

ΘΕράπευσον, Ἰησοῦ μου ψυχῆς μου τὰ τραύματα. Ἰησοῦ μου δέομαι, καὶ τῆς χειρός με ἐξάρπασον, Ἰησοῦ μου εὔσπλαγχνε, τοῦ ψυχοφθόρου βελίαρ, καὶ διάσωσον:~

ἩΜάρτηκα, Ἰησοῦ μου γλυκύτατε εὔσπλαγχνε, Ἰησοῦ μου σῶσόν με, τὸν προσφυγόντα τῇ σκέπῃ σου, Ἰησοῦ μακρόθυμε, καὶ Βασιλείας τῆς σῆς με καταξίωσον:~

ΟΥ'χ ἥμαρτεν, Ἰησοῦ μου οὐδεὶς ὥσπερ ἥμαρτον, ἐγὼ ὁ ταλαίπωρος. νῦν δὲ προσπίπτω δεόμενος, Ἰησοῦ μου σῶσόν με, καὶ τὴν ζωὴν Ἰησοῦ μου κληροδότησον:~

Θεοτοκίον.

ΠΑνύμνητε, Ἰησοῦν ἡ γεννήσασα Κύριον. αὐτὸν καθικέτευε, τοῦ λυτρωθῆναι κολάσεως, πάντας τοὺς ὑμνοῦντάς σε, καὶ Θεοτόκον κυρίως ὀνομάζοντας:~

Ἄλλος. Χριστός μου δύναμις, Θεὸς καὶ Κύριος.

ἈΠαρνησάμενον, τὴν πρὸς ἀνίσχοντα, καὶ πρὸς τὴν ἡμετέραν τὸ ἱερὸν, Σωτὴρ Ἐκμαγεῖόν σου, νῦν ὁ θεόφρων Βασιλεὺς, πλησιάσαν ὑποδέχεται:~

Γλυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro



Γλυκὺ μὲν Ἥλιος, αὐγάζων ὄμμασι, γλυκυτέρα δὲ ὄψις ἡ σὴ Χριστὲ, τοῦ ἀφομοιώματος. ὅτι ὁ μὲν τὰ αἰσθητὰ, αὕτη δὲ τὰ νοητὰ φωταυγεῖ:~

Ἰσχὺς ἐξέλιπεν, Ἰσμαηλίτιδος. δεξιᾶς γὰρ τῷ ὅπλῳ τῷ τοῦ Σταυροῦ, πᾶσαν τὴν περίβολον, ὁ κραταιόφρων Βασιλεὺς, τὴν αὐτῆς εἰς γῆν κατέβαλε:~

Θεοτοκίον.

Συντηρηθῆναί σου, τὴν Πόλιν Ἄχραντε, ἀσινῆ ἐξ ἐφόδου βαρβαρικῆς, πρέσβευε δεόμεθα. ἴδε γὰρ οἷα κατ᾿ αὐτῆς, οἱ ἀλάστορες τεκταίνουσιν:~

Καταβασία.

Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν, τὴν ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης Ἀββακοὺμ, κατανοῶν ἐκραύγαζε. δόξα τῇ δυνάμει σου Κύριε:~

Ὠδὴ, ε. Ὁ φωτισμός.

Σὺ φωτισμὸς, Ἰησοῦ μου νοός μου, σὺ σωτηρία, τῆς ἀπεγνωσμένης ψυχῆς μου Σῶτερ, σὺ Ἰησοῦ μου τῆς κολάσεως ῥῦσαι, καὶ γεέννης ἐμὲ κραυγάζοντα, σῶσον Ἰησοῦ μου, Χριστέ με ἄθλιον:~

Ὁλοσχερῶς, Ἰησοῦ μου πρὸς πάθη τῆς ἀτιμίας, καταβεβλημένος ἤδη κραυγάζω, σὺ Ἰησοῦ μου, βοηθείας μοι χεῖρα, καταπέμψας ἔκσπασον κράζοντα, σῶσον Ἰησοῦ μου, Χριστέ με τὸν ἄθλιον:~

Βέβηλον νῦν, Ἰησοῦ περιφέρων ἀναβοῶ σοι. κάθαρον τοῦ ῥύπου με τῶν πταισμάτων, καὶ λύτρωσαί με τὸν εἰς βάθη, κακίας, καὶ ἀγνοίας κατολισθήσαντα, Σῶτερ Ἰησοῦ μου, καὶ σῶσόν με δέομαι:~ Θεοτοκίον.

Τὸν Ἰησοῦν, ἡ γεννήσασα Κόρη Θεογεννῆτορ. τοῦτον ἐκδυσώπει σωθῆναι πάντας, τοὺς ὀρθοδόξους, μο-

www.tezaurliturgic.ro

μαστὰς καὶ μιγάδας, καὶ γεέννης ῥυσθῆναι κράζοντας. πλὴν σοῦ προστασίαν βεβαίαν οὐκ ἔχομεν.

Ἄλλος. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Μικρὰ σοι Πόλις ὑποδοχὴν, πρώην κατηυτρέπιζε Χριστὲ, ἣν ἡ Θαδδαίου ἐπέλασις, νόσων ἀπαλλάττει, ἐκ τῆς χειρός σου γραφὴ, ἐκ θεῖον ἀποσφράγισμα τοῦ προσώπου σου.

Αἱ τῶν χαρίτων σου δωρεαὶ, ὑπερεπληθύνθησαν Χριστέ. ἃς γὰρ τὸ πρώην ἡ Ἔδεσα, ἐγκολπωσαμένη ἐμεγαλαυχήσατο, ἡ νέα δεχομένη Ῥώμη ἀγάλλεται.

Θεοτοκίον.

Στῆσον Παρθένε τῶν δυσμενῶν, τὰς ἐπαναστάσεις τὰς πυκνὰς, λῦσον αὐτῶν τὰ βουλεύματα. τῇ κληρονομίᾳ τῇ σῇ βοήθησον. ὁρᾷς γὰρ ἀπειρήκαμεν ταῖς κακώσεσιν.

Καταβασία.

Ἐξέστη τὰ σύμπαντα, ἐν τῇ σεπτῇ κοιμήσει σου. σὺ γὰρ ἀπειρόγαμε Παρθένε, γῆθεν μετέστης πρὸς αἰωνίους μονὰς, καὶ πρὸς ἀτελεύτητον ζωὴν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύουσα.

Ὠδὴ ϛ´. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἰησοῦ μου Χριστὲ πολυέλεε, ἐξομολογούμενόν δέξαι με Δέσποτα, ὦ Ἰησοῦ καὶ σῶσόν με, καὶ φθορᾶς Ἰησοῦ με ἐξάρπασον.

Ἰησοῦ μου οὐ γέγονεν ἕτερος, ἄσωτος οὐδεὶς ὡς ἐγὼ ὁ ταλαίπωρος, ὦ Ἰησοῦ φιλάνθρωπε. ἀλλὰ σὺ Ἰησοῦ με διάσωσον.

Ἰησοῦ μου καὶ Πόρνην καὶ Ἄσωτον, καὶ τὸν Μανασσῆν καὶ Τελώνην νενίκηκα, ὦ Ἰησοῦ μου πάθεσι, καὶ Ληστὴν Ἰησοῦ Νινευΐτας τε.

Θεοτοκίον.

Ἰησοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro



Τ'Ησοῦν τὸν Χριστόν μου κυήσασα, ἄχραντε Παρθένε ἡ μόνη ἀμόλυντος, μεμολυσμένον ὄντα με, πρεσβειῶν σου ὑσσώπῳ νῦν κάθαρον :~

Ἄλλος. Συνεχέθη, ἀλλ' οὐ.

Ὡ'Ραιώθης, κάλλει παρὰ πάντας, Σῶτερ τοὺς Υἱοὺς τῶν βροτῶν, κἂν γὰρ οὐκ εἶδος εἶχες, οὐδὲ κάλλος ἐν καιρῷ τοῦ πάθους. ἀλλὰ τῷ ὄντι πάντα κατεφώτιζες. καὶ δηλοῖ σου τῆς μορφῆς ἡ θέα. ἧς τὸ ὁμοίωμα, ῥάκει ἐκτυπωθὲν, ὥσπερ θησαυρὸς ἡμῖν δεδώρηται :~

Ἡ'ς ἰσχύος, προσαφαιρεθεῖσα, τῶν Ἀγαρηνῶν ἡ πληθὺς, ὥσπερ ἐξ ἀλλοφύλων, κιβωτὸν Ἰσραηλίτῃ Νέῳ, τὸ τοῦ προσώπου, νῦν προσέτι δέδωκεν, Ἐκμαγεῖόν σου Χριστὲ καὶ δόξαν, ἣν προσεκτήσατο. οὐδὲ γὰρ θεμιτὸν, ἅγια κυσὶ προσεπιῤῥίπτεσθαι :~

Θεοτοκίον.

Ἐ'Κχειρός σου, Σῶτερ τῆς ἰσχύος, νῦν ὑπεξέλιπον ἐγὼ, ἀλλὰ τὰς μάστιγάς σου, ἀποστήσας ἀπ' ἐμοῦ πρεσβείαις, τῆς ἀπειράνδρως Λόγε κυησάσης σε. μὴ τῷ κλύδωνι τῆς ἁμαρτίας καταποντίζεσθαι, καὶ δεινῶς μαντιῶν, μόνε Λυτρωτὰ ἐγκαταλίπῃς με :~

Καταβασία.

Τ'Ὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάσωμεν :~

Εἶτα τὸ Κοντάκιον. Κύριε ὑπέρμαχε.

Καὶ τοὺς ἐξ οἴκους.

Τ'Εῖχος εἶ τῶν γηγενῶν Βασιλεῦ προαιώνιε, ἀπόστειλον ἡμῖν τὸν Παράκλητον, καὶ καθάρισον ἡμᾶς

ἀπὸ

www.tezaurliturgic.ro



ἀπὸ πάσης κηλῖδος, ὡς πάλαι τοὺς δέκα λεπροὺς ἐκαθάρισας, καὶ ἴασαι ἡμᾶς, καθάπερ ἰάσω τὴν τοῦ Τελώνου Ζακχαίου φιλόχρυσον ψυχήν. ὅπως ἐν κατανύξει βοῶμέν σοι·

Ἰησοῦ θησαυρὸς ἀνέκλειπτος.
Ἰησοῦ πλοῦτος ἀδαπάνητος.
Ἰησοῦ τροφὴ ζωοπάροχε.
Ἰησοῦ πόσις ἀνεξάντλητε.
Ἰησοῦ γυμνῶν ἡ ἀμφίασις.
Ἰησοῦ χηρῶν τε καὶ ὀρφανῶν ἡ ἀντίληψις.
Ἰησοῦ τῶν ἀπορουμένων ἡ ὑπεράσπισις.
Ἰησοῦ τῶν κοπιόντων ἡ ἀνάπαυσις.
Ἰησοῦ τῶν ὁδοιπόρων ὁ συνοδίτης.
Ἰησοῦ τῶν πλεόντων ὁ κυβερνήτης.
Ἰησοῦ ἡ γαλήνη τῶν ἐν ζάλῃ καὶ τρικυμίᾳ.
Ἰησοῦ τῶν πιπτόντων χειραγωγία.

Ἰησοῦ Υἱὲ Θεοῦ ἐλέησόν με.

Ὕμνον ἐν κατανύξει προσφέρω σοι ὁ ἀνάξιος, καὶ βοῶ σοι ὥσπερ ἡ Χαναναία Ἰησοῦ ἐλέησόν με. οὐ θυγατέρα, ἀλλὰ σάρκα κέκτημαι δαιμονῶσαν δεινῶς, καὶ τῷ θυμῷ φλεγομένην, καὶ παράσχου μοι τὴν ἴασιν ὑμνοῦντί σοι. Ἀλληλούια.

Φωτοπάροχον φῶς καὶ ἀληθινὸν, τοῖς ἐν σκότει τῆς ἀγνωσίας. ὥσπερ πάλαι τοῦ διώκοντός σε Παύλου, διὰ τῆς οὐρανόθεν φωνῆς διανοίξας τὰς ἀκοὰς τῆς ψυχῆς, καὶ τὴν τοῦ νοὸς κατηύγασας ὀξύτητα. οὕτω κἀμοῦ τὰ ζοφώδη βλέφαρα, φώτισον τῆς καρδίας βοῶντός σοι·

Ἰησοῦ Βασιλεῦ πανσθενέστατε.
Ἰησοῦ Θεὲ παντοδύναμε.

www.tezaurliturgic.ro

Ἰησοῦ Παντοκράτορ ἀθάνατε.

Ἰησοῦ Κτίστα μου ὑπερδόξαστε.

Ἰησοῦ ὁδηγὸς τῶν ἐσκοτισμένων.

Ἰησοῦ ἀνάπαυσις τῶν πεφορτισμένων.

Ἰησοῦ Δέσποτα ἐλεῆμον.

Ἰησοῦ Σῶτερ μου πανοικτίρμον.

Ἰησοῦ φώτισόν μου τὰς αἰσθήσεις σκοτισθείσας τοῖς πάθεσιν.

Ἰησοῦ ἴασόν με ὅλον λεπρωθέντα τοῖς πλημμελήμασι.

Ἰησοῦ καθάρισόν μου τὸν νοῦν ἀπὸ αἰσχρῶν λογισμῶν.

Ἰησοῦ διατήρησον τὴν καρδίαν μου ἀπὸ ὀρέξεων πονηρῶν.

Ἰησοῦ Υἱὲ Θεοῦ ἐλέησόν με.

Χάριν παράσχου μοι πάντων ὀφλημάτων ὁ χρεολύτης, καὶ δέξαι με μετανοοῦντά σοι ὡς ἐδέξω ἀρνησάμενόν σε τὸν Πέτρον, καὶ ἀνακάλεσαι ῥαθυμοῦντά με, ὡς ποτὲ τὸν Παῦλον προσεκαλέσω διώκοντά σε, καὶ ἐπάκουσόν μου ἀναβοῶντός σοι :~

Ἀλληλούια.

Ψάλλοντές σου τὴν ἐνανθρώπησιν, ἀνυμνοῦμέν σε πάντες, καὶ πιστεύοντες σὺν τῷ Θωμᾷ σοι βοῶμεν, ὁ Κύριος καὶ Θεὸς ἡμῶν, ὁ ἐν δεξιᾷ καθεζόμενος τοῦ Πατρὸς, καὶ μέλλων κρῖναι ζῶντάς τε καὶ νεκροὺς, καὶ ἡμᾶς ἀξίωσον τότε, τῆς ἐκ δεξιῶν σου μερίδος ἀναβοῶντάς σοι :~

Ἰησοῦ Βασιλεῦ τῶν αἰώνων ἐλέησόν με.

Ἰησοῦ ἄνθος εὔοσμον μύρισόν με.

Ἰησοῦ τῇ ζέσει ἀγάπης τῆς σῆς με περίθαλψον.

Ἰησοῦ τῇ σῇ χάριτι με ἐπίσκεψον.

Ἰησοῦ

www.tezaurliturgic.ro


Ἰησοῦ χιτῶνα φωτεινὸν ἔνδυσόν με.
Ἰησοῦ τῷ σῷ φωτὶ λάμπρυνόν με.
Ἰησοῦ τὸ ὄντως φῶς φώτισόν με.
Ἰησοῦ Ἥλιε τῆς δικαιοσύνης αὔγασόν με.
Ἰησοῦ Φωτουργὲ φαιδρόν με ἀνάδειξον.
Ἰησοῦ νόσου ψυχῆς καὶ σώματός με ἀπάλλαξον.
Ἰησοῦ χειρὸς ἐναντίων με ἐξάρπασον.
Ἰησοῦ πυρὸς ἀσβέστου καὶ πάσης βασάνου με λύτρωσον.

Ἰησοῦ Υἱὲ Θεοῦ ἐλέησόν με.

Ὦ Γλυκύτατε καὶ Πανοικτίρμον Ἰησοῦ, πρόσδεξαι ταύτην ἡμῶν τὴν ἱκέσιον δέησιν, ὡς ἐδέξω τὰ τῆς χήρας δύο λεπτὰ, καὶ συντήρησον τὴν κληρονομίαν σου ἀπὸ ἐχθρῶν ὁρατῶν τε καὶ ἀοράτων, ἐπιδρομῆς ἀλλοφύλων ἐκ νόσου λιμοῦ, πανπείας ἀνάγκης, καὶ θανατηφόρου πληγῆς. καὶ λύτρωσαι κολάσεως, τοὺς βοῶντάς σοι· Ἀλληλούϊα.

Καὶ πάλιν τὸ κοντάκιον. Κύριε ὑπέρμαχε.

Εἶτα συναπτή.

Καὶ τὸ παρὸν κοντάκιον, ἦχος, δ.

Ἐπεφάνης σήμερον.

Ἰησοῦ γλυκύτατε τὸ φῶς τοῦ Κόσμου, τῆς ψυχῆς μου φώτισον τοὺς ὀφθαλμοὺς Υἱὲ Θεοῦ, τῇ θεαυγεῖ σου λαμπρότητι, ἵνα ὑμνῶ σε τὸ φῶς τὸ ἀνέσπερον·

www.tezaurliturgic.ro



Τῷ αὐτῷ Μηνὶ, ιϛʹ. ἡ ἀνάμνησις τῆς εἰσόδου τῆς ἀχειροτεύκτου μορφῆς τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐκ τῆς Ἐδεσηνῶν Πόλεως εἰς ταύτην τὴν Θεοφύλακτον, καὶ Βασιλίδα τῶν Πόλεων ἀνακομισθείσης.

Ἐν Σινδόνι ζῶν ἐκμάξω σὴν θέαν,
Ὅ μικρὸς εἴσδυς ἔσχατον τὴν Σινδόνα.
Ἀχειρότευκτον χειρότευκτος σὸν τύπον,
ἔρει κόραμος παντοτεύκτα Χριστέ μου.

Τοῦ Κυρίου καὶ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τῇ αὐτοῦ ἀγαθότητι, πολλὰ θαύματα ποιοῦντος, καθὼς ἐν τοῖς Ἱεροῖς Εὐαγγελίοις ἀναγέγραπται. καὶ τῆς φήμης πανταχόσε διατρεχούσης, ἤκουσε ταῦτα καὶ Αὔγαρος ὁ τοπάρχης Ἐδέσης. καὶ ἐπεθύμει τὸν Ἰησοῦν Χριστὸν ἰδεῖν αὐταῖς ὄψεσι, καὶ οὐκ ἠδύνατο, διὰ τὸ ἀνιάτοις αὐτὸν νοσήμασι περιπεσεῖν. λέπρα γὰρ μέλαινα κατὰ παντὸς τοῦ σώματος αὐτοῦ ἐξανθήσασα, ἐδαπάνα τοῦτον καὶ κατήσθιε. καὶ σὺν αὐτῇ ἀρθριτικὴ ἀλγηδὼν μία καὶ πονηρὰ τοῦτον ἐπολιόρκει. καὶ ἦσαν, ἀμορφίας καὶ ταλαιπωρίας ἐγένετο. ἡ δὲ, ὀδυνῶν αὐτῷ αἰτία, ὀδύνη καὶ ἀλγηδόνος πρόξενος ἦν. διὰ ταῦτα, ἀδρανέων, καὶ ἀλγηδόνος πρόξενος ἦν. διὰ ταῦτα, ἀπρόϊτός τε καὶ ἀθέατος ἦν πᾶσι τοῖς ὑπηκόοις. κατὰ δὲ τὰς ἡμέρας τοῦ Ἁγίου Πάθους τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ Ἐπιστολὴν γράψας, ἀπέστειλεν αὐτὴν διὰ τοῦ Ἀνανίου. ἐντειλάμενος αὐτῷ, τήν τε ἡλικίαν καὶ τρίχα καὶ πρόσωπον, καὶ ἁπλῶς τὸν σωματικὸν αὐτοῦ χαρακτῆρα μετὰ πάσης ἀκριβείας ἱστορῆσαι, καὶ ἀγαγεῖν αὐτῷ τὴν τοιαύτην τοῦ Χριστοῦ μορφήν.

www.tezaurliturgic.ro



φήν. ἠπίστατο γὰρ τὴν ζωγραφικὴν ἄκρως ὁ Ἀνανίας. ἡ δὲ ἐπὶ λέξεων περιεῖχε τάδε:~

**Αὔγαρος ὁ Τοπάρχης Πόλεως Ἐδέσης, Ἰησοῦ Σωτῆρι ἀγαθῷ ἰατρῷ, ἀναφανέντι ἐν Ἱεροσολύμοις.**

Ἤκουσταί μοι τὰ περὶ σοῦ καὶ τῶν σῶν ἰαμάτων, τῶν ἄνευ φαρμάκων ὑπὸ σοῦ γενομένων. ὡς γὰρ λόγος, τυφλοὺς ἀναβλέπειν ποιεῖς· χωλοὺς περιπατεῖν κατασκευάζεις· λεπροὺς καθαρίζεις· καὶ ἀκάθαρτα πνεύματα, καὶ δαίμονας ἐλαύνεις· καὶ τοὺς ἐν μακρονοσίᾳ βασανιζομένους θεραπεύεις· καὶ νεκροὺς ἐγείρεις. καὶ ταῦτα πάντα ἀκούσας περὶ σοῦ, κατὰ νοῦν ἐθέμην τὸ ἕτερον τῶν δύο. ἢ ὅτι Θεοῦ Υἱὸς εἶ, ποιῶν ταῦτα, ἢ Θεός. διὰ τοῦτο τοίνυν γράψας ἐδεήθην σοῦ σκυλῆναι, καὶ ἐλθεῖν πρός με. ἵνα καὶ τὸ πάθος ὃ ἔχω θεραπεύσῃς, καὶ μετ' ἐμοῦ ἐνταῦθα συνέσῃ. καὶ γὰρ ἤκουσα, ὅτι καὶ οἱ Ἰουδαῖοι καταγογγύζουσί σου, καὶ βούλονται κακῶσαί σε. Πόλις δὲ σμικροτάτη μοι ἐστὶ καὶ σεμνή, ἥτις ἀρκέσει ἀμφοτέροις ἡμῖν τοῦ κατοικεῖν ἐν εἰρήνῃ. ὁ δὲ Ἀνανίας ἀπελθὼν ἐν Ἱερουσαλήμ, καὶ δοὺς τῷ Κυρίῳ τὴν Ἐπιστολὴν, ἦν ἐπιμελῶς εἰς αὐτὸν ἀτενίζων. καὶ μὴ δυνάμενος μηδὲ πλησίον αὐτοῦ γενέσθαι διὰ τὸ συρρεῦσαν πλῆθος, ἐπί τινα πέτραν μικρὰν τῆς γῆς ἀνεστηκυῖαν ἀναβὰς, ἐκαθέσθη. καὶ εὐθὺς ἐκίνει μὲν τοὺς ὀφθαλμοὺς, τῷ δὲ χάρτῃ τὴν χεῖρα προσήρειδε, καὶ τὰ τοῦ φαινομένου μετέγραφεν ὁμοιώματα. καὶ οὐδαμῶς ἠδύνατο τὴν μορφὴν αὐτοῦ καταβαλεῖν, διὰ τὸ ἑτέρα ὄψει φαίνεσθαι, καὶ παρηλλαγμένῃ θεωρίᾳ. ὁ δὲ Κύριος, ἅτε κρυφίων γνώστης καὶ καρδιῶν ἐξεταστὴς, τὴν πρόθεσιν αὐτοῦ γνοὺς, τὸ λάθρα γινόμενον φανεροῖ. ἤτη-

www.tezaurliturgic.ro



σε γὰρ νίψασθαι, καὶ τούτου γενομένου, ἐπεδόθη αὐτῷ ῥάκος τετράδιπλον. καὶ ἀπεμάξατο νιψάμενος, τὴν ἄχραντον αὐτοῦ καὶ θείαν ἐν αὐτῷ ὄψιν. ὅθεν ἐντυπωθείσης αὐτοῦ τῆς θείας μορφῆς καὶ προσόψεως, ὢ τοῦ θαύματος, ἐν τῷ ῥάκει, ἐπέδωκε τῷ Ἀνανίᾳ. ἀπελθὼν ἀπόδος αὐτὸ τῷ ἀποστείλαντί σε εἰπών, γράψας καὶ ἐπιστολὴν ἔχουσαν οὕτως:-

Μακάριος εἶ Αὔγαρε πιστεύσας ἐν ἐμοί, καὶ μὴ ἑωρακώς. γέγραπται γὰρ περὶ ἐμοῦ. τοὺς ἑωρακότας με μὴ πιστεύειν ἐν ἐμοί, ἵνα οἱ μὴ ἑωρακότες, αὐτοὶ πιστεύσωσι καὶ ζήσονται. περὶ δὲ οὗ ἔγραψάς μοι ἐλθεῖν πρὸς σέ, δέον ἐστὶ πάντα δι᾽ ἃ ἀπεστάλην πληρῶσαί με. καὶ μετὰ τὸ πληρῶσαι, ἀναληφθῆναι πρὸς τὸν ἀποστείλαντά με Πατέρα. καὶ ἐπειδ᾽ ἂν ἀναληφθῶ, ἀποστελῶ σοι ἕνα τῶν Μαθητῶν μου ὀνόματι Θαδδαῖον, ὅστις καὶ τὸ πάθος σου θεραπεύσει, καὶ ζωὴν αἰώνιόν σοι, καὶ τοῖς σὺν σοί, καὶ εἰρήνην παρέξει. καὶ ποιήσει τῇ πόλει σου τὸ ἱκανόν, πρὸς τὸ μηδένα τῶν ἐχθρῶν κατισχῦσαι αὐτῆς. ἐπιθεὶς καὶ ἐν τῷ τέλει καὶ σφραγῖδας ἑπτά, γράμμασιν ἑβραϊκοῖς σημανθείσας. αἵτινες μεθερμηνευόμεναι, τοῦτο δηλοῦσι. Θεοῦ Θέα Θεῖον Θαῦμα. ὁ δὲ Αὔγαρος δεξάμενος περιχαρῶς τὸν Ἀνανίαν, καὶ πεσών, καὶ προσκυνήσας τὴν Ἁγίαν καὶ ἄχραντον Εἰκόνα τοῦ Κυρίου, πίστει καὶ πόθῳ πολλῷ, ἰάθη παραχρῆμα ἀπὸ τῆς νόσου, ἐν τῷ μετώπῳ αὐτοῦ μόνον τῆς λέπρας ἀπολειφθείσης. μετὰ δὲ τὸ σωτήριον πάθος Χριστοῦ, καὶ τὴν εἰς Οὐρανοὺς αὐτοῦ ἄνοδον, καταλαβὼν ὁ Ἀπόστολος Θαδδαῖος τὴν Ἔδεσαν, προσήγαγε τῇ κολυμβήθρᾳ τὸν Αὔγαρον, καὶ

www.tezaurliturgic.ro


τοῦτον, καὶ πάντας τοὺς ὑπ' αὐτὸν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος βαπτίσας, ἐξῆλθε τοῦ ὕδατος ὁ Αὔγαρος, καθαρισθεὶς καὶ τοῦ μικροῦ ἐκείνου λειψάνου τῆς λέπρας. ἐντεῦθεν παντοίως τιμῶν, καὶ σεβόμενος τὸ τοιοῦτον θεῖον ὁμοίωμα τῆς τοῦ Κυρίου μορφῆς, καὶ τοῦτο παρὰ πᾶσιν ὁμοίως τιμᾶσθαι βουλόμενος, τοῖς αὐτοῦ καλοῖς καὶ τοῦτο προσέθηκεν. ἐκ τῶν παλαιῶν τῆς Ἐδέσης Πολιτῶν, τῶν ἐπισήμων τινὸς Ἕλληνος ἄγαλμα, πρὸ τῆς δημοσίας τοῦ ἄστεος γενέσθαι βουλόμενον, ἀνάγκη ἦν προσκυνῆσαι καὶ εὐχὰς ἀποδοῦναι, καὶ οὕτως εἰσελθεῖν τῇ Πόλει. τοῦτο τὸ ἀκάθαρτον ἄγαλμα ὁ Αὔγαρος καθελὼν, καὶ τελείῳ ἀφανισμῷ παραδοὺς, εἰς τὸν ἐκείνου τόπον τὴν ἀχειροποίητον ταύτην εἰκόνα τοῦ Σωτῆρος ἡμῶν καὶ Θεοῦ, ἐπὶ σανίδος κολλήσας καὶ καλλωπίσας, ἀνεστήλωσεν, ἐπιγράψας ἐν αὐτῇ ταῦτα. Χριστὲ ὁ Θεὸς, ὁ εἰς σὲ ἐλπίζων, οὐκ ἀποτυγχάνει ποτέ. καὶ λοιπὸν ἐθέσπισε πάντα τὸν διὰ τῆς Πύλης ἐκείνης εἰσερχόμενον, τὸ προσῆκον σέβας καὶ τὴν προσκύνησιν τῇ θαυματουργῷ καὶ τιμίᾳ τοῦ Χριστοῦ εἰκόνι ἀπονέμειν, καὶ οὕτως εἰς τὴν Πόλιν εἰσέρχεσθαι. καὶ διετηρήθη τὸ τοιοῦτον εὐσεβὲς τοῦ ἀνδρὸς θέσπισμα, μέχρι τῆς ἐν τῷ βίῳ τούτου τοῦ Αὐγάρου παροικίας, καὶ τῆς τοῦ Υἱοῦ αὐτοῦ βιοτῆς. ὁ δὲ τούτου ἔγγονος, τῆς Πατρικῆς ἀρχῆς διάδοχος γεγονὼς, ἀπελάκτισε τὴν εὐσέβειαν, καὶ πρὸς τὰ εἴδωλα ηὐτομόλησε. καὶ ἐβουλήθη πάλιν ἀναστηλῶσαι δαιμονικὴν στήλην, καὶ τὴν τοῦ Χριστοῦ εἰκόνα καθελεῖν. τοῦτο γνοὺς ὁ Ἐπίσκοπος τῆς Πόλεως ἐκ θείας ἀποκαλύψεως, τὴν ἐνδεχομένην ἔθετο πρόνοιαν. ἐπειδὴ γὰρ ὁ τόπος

ὑπῆρ-

www.tezaurliturgic.ro



ὑπῆρχε κυλινδροειδὴς, θρυαλλίδα πρὸ τῆς θείας Εἰκόνος ἀνάψας, κέραμον ἐπιθεὶς, εἶτα ἔξωθεν τιτάνῳ καὶ πλίνθοις ἀποφράξας τὸ ἔμβαδον, εἰς ὁμαλὴν ἐπιφάνειαν τὸ τεῖχος ἀπηύθυνε. καὶ ἐν τῷ μὴ ὁρᾶσθαι, ἀπέστη τῆς ἐγχειρήσεως ὁ δυσσεβής. ἔρρει δὲ διὰ μέσον χρόνος πολὺς, καὶ τῆς ἐξ ἀνθρώπων μνήμης, ἀπερρύη τὸ θεῖον ἀπεικόνισμα ὅτι κέκρυπται. ὁ δὲ τῶν Περσῶν Βασιλεὺς Χοσρόης, τὰς τῆς Ἀσίας Πόλεις πορθήσας, κατέλαβε καὶ τὴν Ἔδεσαν. καὶ πᾶσαν μηχανὴν κατ᾽ αὐτῆς κινήσας, εἰς φόβον καὶ ἀγωνίαν τοὺς τῆς Πόλεως ἐνέβαλεν. οἳ πρὸς τὸν Θεὸν καταφυγόντες, καὶ μετὰ δακρύων αὐτὸν παρακαλέσαντες, ταχεῖαν εὕραντο τὴν σωτηρίαν. διὰ γὰρ μιᾶς τῶν νυκτῶν, φαίνεταί τις Γυνὴ ἐνδοξοτάτη τῷ Ἐπισκόπῳ Εὐλαβίῳ, τὴν ἐπάνω λέγουσα, τῆσδε τῆς Πύλης κατακεκρυμμένην, τὸν τόπον σημάνασα, θείαν μορφὴν τοῦ Σωτῆρος ἀχειροποίητον λαβὼν, πάντα αἰσίως πράξον. ὁ δὲ Ἐπίσκοπος τὸν τόπον καταλαβὼν, καὶ τοῦτον ἀνορύξας, ὢ τοῦ θαύματος, εὗρε τὴν θείαν εἰκόνα ἀδιαλώβητον, καὶ τὴν θρυαλλίδα ἐν τοσούτῳ χρόνῳ μὴ ἀποσβεσθεῖσαν, ἀλλὰ καὶ ἐν τῷ πρὸς φυλακὴν ἐπιτεθέντι πρὸ τοῦ λύχνου κεράμῳ, ἕτερον ὁμοίωμα ἀπαραλλάκτως τοῦ πρωτοτύπου ἐκτυπωθέντι. καὶ τούτου τοῖς πᾶσι δειχθέντος, ἀφάτου χαρᾶς καὶ εὐφροσύνης τὰ πάντα ἐπληρώθησαν. τοῦτο λαβὼν ὁ Ἐπίσκοπος, καὶ λιτανεύσας, καὶ εὐχαριστήσας, κατέλαβε τὸν τόπον, καθ᾽ ὃν οἱ Πέρσαι διώρυττον. ἀπὸ γὰρ τοῦ τῶν χαλκωμάτων ἤχου κατάφοροι καθεστήκασιν. ὡς δὲ ἀλλήλων ἐγγὺς ἐγένοντο, ἀπὸ τῆς λυχνίας



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro


μίας ἐκείνης ἔλαιον ἀποστάξας εἰς τὸ ἀναῤῥιπισμένον πῦρ, πάντας ἄρδην ἀπώλεσεν. ἀλλὰ καὶ ἔξωθεν ὑπὸ τῶν Περσῶν, ἀναφθείσης πυρᾶς κατὰ τὸν ἔνδον τόπον, ἣν ἡ ἄπειρος ὕλη ὑπέτρεφε τῶν συχνῶν κατακοπέντων δένδρων, ὡς πλησίον ἐγένετο ὁ Ἐπίσκοπος μετὰ καὶ τοῦ θείου ἐκτυπώματος, ἐξαίφνης βίαιος ἄνεμος ἐγερθεὶς, κατὰ τῶν ἀναφλεγόντων τὴν πυρκαϊὰν τὴν φλόγα ὑπέστρεφε, καὶ ἐδίωκε τούτους καὶ ἐνεπύριζε. καὶ λοιπὸν πλεῖον ὧν ἤλπισαν δρᾶσαι, παθόντες οἱ Πέρσαι, ὑπεχώρησαν ἄπρακτοι. ἐπεὶ δὲ πρὸς τὴν Βασιλεύουσαν τῶν Πόλεων τὰ πάντα συνέῤῥει κάλλιστα, ἦν δὲ θεῖον βούλημα, καὶ τὴν ἱερὰν ταύτην καὶ ἄχραντον εἰκόνα μετὰ τῶν ἄλλων ἀποθησαυρισθῆναι καλῶν, ὁ τῆς Ῥωμαίων Ἀρχῆς Ῥωμανὸς, σπούδασμα ποιεῖται, καὶ ταύτην καταπλουτῆσαι τὴν Βασιλεύουσαν. καὶ δὴ κατὰ διαφόρους καιροὺς ἀποστείλας πρὸς τὴν Ἔδεσαν, καὶ αἰτήσας τὸ θεανδρικὸν ἐκτύπωμα, καὶ ἀνατιθεὶς ἀργύρου ἐπισήμου χιλιάδας δύο πρὸς μυριάδι μιᾷ, καὶ διακοσίους σαρακηνοὺς, οὓς ἔτυχε τότε κατέχων. καὶ τῇ ἐφέσει τοῦ τοιούτου καλοῦ πρὸς πάντα ὑπείξας. καὶ ἀσφαλισάμενος τοῦ μὴ πολεμίως τὰ τῶν Ῥωμαίων στρατεύματα κατὰ τῶν ὁρίων ἐκείνων ἐπέρχεσθαι, ἐπέτυχε τῆς αἰτήσεως, τὰ αἰτηθέντα πάντα ἐκπληρώσας. ἐπεὶ δὲ συνεχώρησε γενέσθαι, καὶ παρεχώρησεν ὁ Ἀμηρᾶς, λαβόντες οἱ Ἐπίσκοποι, ὅ,τε τῆς Σαμοσάτων, καὶ ὁ τῆς Ἐδέσης, καὶ ἕτεροί τινες τῶν εὐλαβῶν τὸ ἅγιον ἐκεῖνο ἀπεικόνισμα, καὶ τὸ χειρόγραφον ἐπιστολίδιον, εἴχοντο τῆς ὁδοῦ. καὶ πάλιν ἄπειρα ἐτελεῖτο θαύματα. ὡς δὲ κατήντησαν ἐπὶ τῷ τῶν Ὀπτι-

μά-

www.tezaurliturgic.ro



μάτων θέματι, καὶ τῷ τῆς Θεοτόκου Ναῷ τοῦ Εὐσεβίου λεγομένῳ, πολλοὶ προσελθόντες μετὰ πίστεως, ἀπὸ ποικίλων νόσων ἰάθησαν. ἔνθα καί τις προσῆλθεν, ὑπὸ δαίμονος ἐνοχλούμενος, καὶ τάδε οἱονεὶ ἀπεφοίβαζεν. ἀπόλαβε λέγων Κωνσταντινούπολις, δόξαν καὶ τιμὴν καὶ χαρὰν, καὶ σὺ Πορφυρογέννητε τὴν Βασιλείαν σου. καὶ παραυτίκα ἰάθη ὁ ἄνθρωπος, τῇ πέντε καὶ δεκάτῃ τοῦ Αὐγούστου μηνός. κατὰ δὲ τὸ ἑξακισχιλιοστὸν τετρακοσιοστὸν πεντηκοστὸν δεύτερον ἔτος τῆς Κόσμου γενέσεως, κατέλαβον τὸν ἐν Βλαχέρναις Ναὸν τῆς Θεοτόκου, οἱ τὸ ἅγιον διακομίζομενοι ἀπεικόνισμα. ὃ καὶ σεβασμίως καὶ περιχαρῶς ἀπεδέχθη καὶ προσεκυνήθη παρὰ τῶν Βασιλέων, καὶ τῶν ἐν τέλει, καὶ τῶν λοιπῶν. τῇ δὲ ἐπαύριον μετὰ τὸν ἀσπασμὸν καὶ τὴν προσκύνησιν, ἀράμενοι τὴν τοῦ Χριστοῦ εἰκόνα ἐπὶ τῶν ὤμων, ὅ,τε Ἀρχιερεὺς Θεοφύλακτος, καὶ οἱ νεάζοντες Βασιλεῖς. ὁ γὰρ γέρων δι᾽ ἀσθένειαν ἀπολέλειπτο, ἀλλὰ καὶ οἱ τῆς Γερουσίας ἅπαντες. καὶ μετὰ παντὸς τοῦ τῆς Ἐκκλησίας πληρώματος, τὴν προσήκουσαν δορυφορίαν παρέπεμπον μέχρι τῆς χρυσῆς Πόρτης. εἶτα ἐκεῖθεν πάλιν ἀναλαβόμενοι ὁμοίως μετὰ ψαλμῶν καὶ ὕμνων καὶ ἀπείρων λαμπάδων καὶ φώτων, κατέλαβον τὸν περιώνυμον καὶ μέγιστον τῆς Θεοῦ Σοφίας Ναόν. κἀκεῖσε τὴν ἁρμόζουσαν τάξιν πεποιηκότες, ἀνῆλθον εἰς τὰ Βασίλεια. καὶ εἰσελθόντες ἐν τῷ Ναῷ τῆς Θεοτόκου τῷ ἐπιλεγομένῳ τοῦ Φάρου, ἐκεῖσε κατέθεντο τὸ τίμιον καὶ ἅγιον ἐκτύπωμα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς δόξαν πιστῶν, εἰς φυλακὴν Βασιλέως, εἰς ἀσφά-

λειαν

www.tezaurliturgic.ro


λείαν ὅλης τῆς Πόλεως, καὶ τῆς τῶν Χριστιανῶν καταστάσεως :~

Τῇ αὐτῇ ἡμέρᾳ, ἀνάμνησιν ποιοῦμεν τῆς περὶ ἡμᾶς μεγίστης ἀνυπερβλήτου φιλανθρωπίας, ἣν ἐδείξατο ἀποστρέψας μετὰ αἰσχύνης τοὺς ἀθέους Ἀγαρηνοὺς, μεσιτείᾳ τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας.

ΕΝ ἀρχῇ γὰρ τῆς Βασιλείας Λέοντος τοῦ Ἰσαύρου, τοῦ καὶ Κόνωνος, ἀνῆλθε πλῆθος Σαρακηνῶν διὰ πλοίων, τὸν ἀριθμὸν χιλίων ὀκτακοσίων, κατὰ τῆς μεγίστης ταύτης Κωνσταντινουπόλεως, πολιορκῆσαι αὐτήν. καὶ δὴ τοῦ Βασιλέως προθεμένου δοῦναι αὐτοῖς πάντα, αὐτοὶ καὶ φύλακας τῇ Πόλει ἐγκαταστῆσαι ἀπῄτουν. ὅθεν εἰς ἀπορίαν τῶν πραγμάτων ὄντων, τῇ Θεοτόκῳ προσέπιπτον, ἱκετεύοντες ἐπαμῦναι καὶ βοηθῆσαι τῇ Πόλει αὐτῆς, καὶ διασῶσαι αὐτὴν κινδυνεύουσαν. ἀκούει τούτων ἡ Θεομήτωρ. καὶ πρῶτον μὲν τὸν ψιλῷ ὀνόματι, Σοφίαν, τὴν τοῦ Θεοῦ μεγάλην Ἐκκλησίαν καλέσαντα. καὶ τὴν Πόλιν Κωνσταντίαν, Ἀγαρηνὸν εἰς βόθρον σὺν τῷ ἵππῳ κατακρημνίσασα, τῷ θανάτῳ παρέπεμψεν. ἔπειτα δὲ τὸν ἐφ᾽ ὑψηλοῦ ἀνελθόντα κηρύξαι τὴν μιαρὰν αὐτῶν προσευχὴν, τῷ ὀλέθρῳ παρέδωκε κατακρημνισθέντα ἐκεῖθεν. καὶ τοῖς Βουλγάροις δὲ συμβαλέσθαι ᾠκονόμησε. καὶ δυσμενεῖς Σαρακηνοὺς κατασφαγῆναι, καὶ τὰ πλοῖα αὐτῶν, ἄλλα ἀλλαχοῦ διασκεδάσασα, ἀφανισμῷ τελείῳ παρέδωκε. καὶ εἰς τοσαύτην ἀνάγκην λιμοῦ περιέστησεν,

ὡς

www.tezaurliturgic.ro
ὡς σαρκῶν ἀνθρωπίνων καὶ ἑρπετῶν καὶ μυῶν καὶ τῆς ἰδίας κόπρου μεταλαβεῖν. Σουλιμὰν δὲ τὸν πρῶτον αὐτῶν, καὶ αἰδεσθεὶς τὴν ἄγραπτον εἰκόνα αὐτῆς πεποίηκε, καὶ πεζὸν ἐν τῇ Πόλει εἰσελθεῖν παρεσκεύασε, καὶ τῆς προπετείας καὶ αὐθαδείας ἑαυτοῦ καταγνῶναι. διὰ λιμοῦ γὰρ καὶ λοιμοῦ καὶ μαναγίων, πλήθη πολλὰ τῶν μιαρῶν Ἀγαρηνῶν καταπεσεῖν ποιήσασα, τὴν ἑαυτῆς Πόλιν, κραταιᾷ παλάμῃ διεσώσατο.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ ἐν τῷ Ναῷ τῆς Πηγῆς τοῦ ἁγιάσματος ἐξάντλησις, καὶ αὖθις ἀνάδοσις.

Πηγὴ κενοῦται θαυματουργῶν ὑδάτων,
Πληρουμένη δὲ θαυματουργεῖ καὶ πλέον.

Τῇ αὐτῇ ἡμέρᾳ, συνέφθασε καὶ ἡ μνήμη τῆς μετὰ οἰκτιρμῶν ἐπενεχθείσης ἡμῖν ἐν τοῖς καιροῖς ἐκείνοις φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ. ἧς παρ' ἐλπίδα ἐλυτρώσατο ἡμᾶς ὁ φιλάνθρωπος Θεός. τῷ ἀπείρῳ ἐλέει σου Χριστὲ ὁ Θεὸς ἡμῶν ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ, ζ'. Εἰκόνος χρυσῆς.

Χριστὲ Ἰησοῦ, οὐδεὶς ἥμαρτεν ἐν γῇ ἐκ τοῦ αἰῶνος, ὦ Ἰησοῦ μου ὥσπερ ἥμαρτον, ἐγὼ ὁ τάλας καὶ ἄσωτος. ὅθεν Ἰησοῦ μου βοῶ σοι, μελῳδοῦντά με οἰκτείρον. εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Χριστὲ Ἰησοῦ, ἐν τῷ φόβῳ σου βοῶ καθήλωσόν με, ὦ Ἰησοῦ μου καὶ κυβέρνησον, νῦν πρὸς λιμένα τὸν εὔδιον. ὅπως Ἰησοῦ μου Οἰκτίρμον, μελῳδῶ σοι σωζόμενος. εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Χριστὲ Ἰησοῦ, μυριάκις ὑπεσχέθην σοι ὁ τάλας, ὦ Ἰησοῦ μου τὴν μετάνοιαν, ἀλλ' ἐψευσάμην ὁ ἄθλιος. ὅθεν Ἰησοῦ μου βοῶ σοι, τὴν ἀναίσθητον μένουσαν, ψυ-

www.tezaurliturgic.ro


χὼν μου φώτισον Χριστὲ, ὁ τῶν Πατέρων Θεός:~

Θεοτοκίον.

Χριστὸν Ἰησοῦν, ἡ γεννήσασα φρικτῶς καὶ ὑπὲρ φύσιν, αὐτὸν δυσώπει Παναμώμητε, τὰ παρὰ φύσιν μου πταίσματα, πάντα συγχωρῆσαί μοι Κόρη, ἵνα κράζω σωζόμενος, εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα:~

Ἄλλος. Οἱ παῖδες ἐν βαβυλῶνι.

Ῥήματι μὲν πᾶσαν νόσον, Λόγε Θεοῦ ἐφυγάδευσας, ἐπὶ γῆς ἐνδημῶν. ἀλλὰ θῶκους πρὸς Πατρικοὺς ἀνερχόμενος, διὰ τοῦ ἐκτυπώματος, θεραπεύεις τὰς νόσους ἡμῶν:~

Ὁ Κτίσας λόγῳ τὰ πάντα, καὶ μορφωθεὶς τὸ ἀλλότριον, τῆς ἰδίας μορφῆς καταλέλοιπεν ἡμῖν ἰδιώματα. ἅπερ ὑποδεχόμενοι, ἐν χαρᾷ εὐφραινόμεθα:~

Ψυχῆς ἐξ ὅλης ζητήσας, τῆς σῆς ἰδέας ἐκσφράγισμα, ὁ πιστὸς Βασιλεὺς ὡς ἐζήτησεν, οὕτως ἔτυχε Κύριε, κατάλληλον εὑράμενος, θείου πόθου τὸ πλήρωμα:~

Θεοτοκίον.

Ἐλύθη τῆς καταδίκης, τῆς παλαιᾶς τὸ ἀνθρώπινον, τῇ κυήσει τῇ σῇ. σὲ γὰρ μόνην πλατυτέραν εὑράμενος, τῶν Οὐρανῶν Πανάμωμε, ὁ Θεὸς κατεσκήνωσεν:~

Καταβασία.

Οὐκ ἐλάτρευσαν τῇ Κτίσει οἱ θεόφρονες, παρὰ τὸν Κτίσαντα. ἀλλὰ πυρὸς ἀπειλὴν, ἀνδρείως πατήσαντες, ἔχαιρον ψάλλοντες. ὑπερύμνητε ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ:~

Ὠδὴ, η. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Σὲ Ἰησοῦ μου δυσωπῶ, ὡς τὴν Πόρνην Ἰησοῦ μου ἐλυτρῶ-

www.tezaurliturgic.ro



ρώσω, τῶν πολλῶν ἐγκλημάτων. οὕτω κἀμὲ Ἰησοῦ, Χριστέ μου λύτρωσαι καὶ κάθαρον, τὴν ῥερυπωμένην ψυχήν μου Ἰησοῦ μου :~

ΚΑθυποκύψας Ἰησοῦ, ταῖς ἀλόγοις ἡδοναῖς, ἄλογος ὤφθην, καὶ τοῖς κτήνεσιν ὄντως, ὢ Ἰησοῦ μου οἰκτρῶς, ὁ τάλας Σῶτερ ἀφωμοίωμαι. ὅθεν Ἰησοῦ με τῆς ἀλογίας ῥῦσαι :~

ΠΕριπεσὼν ὢ Ἰησοῦ, ψυχοφθόροις ἐν λῃσταῖς ἀπεγυμνώθην, τὴν στολὴν Ἰησοῦ μου τὴν θεοΰφαντον νῦν, καὶ κεῖμαι μώλωψι κατάστικτος. ἔλαιον Χριστέ μου ἐπίχεε καὶ οἶνον :~

Θεοτοκίον.

ΤΟν Ἰησοῦν μου καὶ Θεὸν, ἡ βαστάσασα Χριστὸν ἀφθορμένως, Θεοτόκε Μαρία, τοῦτον δυσώπει ἀεὶ, κινδύνων σώζεσθαι τοὺς δούλους σου, καὶ τοὺς ὑμνητάς σου ἀπείρανδρε Παρθένε :~

Ἄλλος. Νόμων πατρῴων.

ὩΣπερ ἐν ὄψει σὲ νῦν Κύριον, ἐλπίζων ἐνδημῆσαι πᾶς ὁ τῆς Πόλεως, λαὸς ἔκκριτος ὑπάντησιν, θαυμαστὴν σου ποιεῖται, Ἀρχιερέων Θεῖον ἐπαγόμενος χορόν. ὧν ἐπ᾽ ὤμων ὀχούμενος, καὶ πρὸς κληρονομίαν εἰσβαλὼν τὴν οἰκείαν Οἰκτίρμον, ἐν τῷ τῆς Μητρός σου κατέπαυσας τεμένει :~

ΣΤόματα παίδων τῶν ἀκάκων σε, πρὸς τὸν προφητοκτόνον, πρώην ᾄδοντα, ὑμνολόγουν ἀλλ᾽ ἡ ἄνομος, Συναγωγὴ Ἑβραίων, φονῶσαν χεῖρα, ὥπλιζε λυττοῦσα κατὰ σοῦ. νῦν δὲ Πόλις ἡ ἔννομος, πανδημεὶ προχυθεῖσα, ὡς οἷα σὲ τὸν Κτίστην ὁρῶσα, χαίρει δεχομένη τὸν τύπον τῆς μορφῆς σου :~

www.tezaurliturgic.ro


Θεοτοκίον.

Ἔργα φορέσαι προελόμενος, τῆς τοῦ Πατρὸς μεγάλης βουλῆς ὁ Ἄγγελος, ἐν νηδύϊ σου Πανάχραντε, ἐτελεσιουργήθη. καὶ σὲ Μητέρα κάτω, ἀπεγράψατο Σεμνή· καὶ φθαρεῖσαν ἐκαίνισεν τὴν βροτείαν οὐσίαν. ὃν πάντες εὐλογοῦμεν ὡς Κτίστην, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας:~

Καταβασία.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώζετο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν Οἰκουμένην ἅπασαν, ἐγείρει ψάλλειν σοι. τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας:~

Ὠδὴ, θ΄. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Τὸν Μανασσῆν Ἰησοῦ μου, τὸν Τελώνην τὴν Πόρνην, τὸν Ἄσωτον Οἰκτίρμον Ἰησοῦ, καὶ τὸν Λῃστὴν ὑπερβέβηκα, Ἰησοῦ μου ἐν ἔργοις, αἰσχίστοις καὶ ἀτόποις Ἰησοῦ, ἀλλὰ σὺ Ἰησοῦ μου, προφθάσας με διάσωσον:~

Τοὺς ἐξ Ἀδὰμ Ἰησοῦ μου, ἁμαρτήσαντας πάντας, πρὸ νόμου καὶ ἐν νόμῳ Ἰησοῦ, καὶ μετὰ νόμον ὁ ἄθλιος, Ἰησοῦ μου καὶ χάριν, ἐνίκησα τοῖς πάθεσιν οἰκτρῶς. ἀλλὰ σὺ Ἰησοῦ μου, τοῖς κρίμασί σου σῶσόν με:~

Μὴ χωρισθῶ Ἰησοῦ μου, τῆς ἀφράστου σου δόξης, μὴ τύχω τῆς μερίδος Ἰησοῦ, τῆς εὐωνύμου Γλυκύτατε Ἰησοῦ· ἀλλὰ σύ με τοῖς δεξιοῖς προβάτοις σου Χριστὲ, Ἰησοῦ μου συντάξας, ἀνάπαυσον ὡς εὔσπλαγχνος:~

Θεοτοκίον.

Τὸν Ἰησοῦν Θεοτόκε, ὃν ἐβάστασας μόνη, ἀπειραν-

δρε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro



δρε Παρθένε Μαρία, τοῦτον Ἁγνὴ ἐξιλέωσαι, ὡς Υἱόν σου καὶ Κτίστην, ῥυσθῆναι τοὺς προστρέχοντας εἰς σὲ, πειρασμῶν καὶ κινδύνων, καὶ τοῦ πυρὸς τοῦ μέλλοντος:~

Ἄλλος. Ξενίας δεσποτικῆς.

Ἐξέμηνε κατὰ σοῦ, λαὸς ἀσύνετος Σῶτερ, καὶ ἀντ' εὐεργεσίας, σοὶ τὰ ἀνήκεστα, τολμηρῶς ἐπανετείνετο. ἀλλ' ἡμεῖς οἱ μακρὰν ἀπωσθέντες, τοῖς σοῖς πάθεσι Σῶτερ υἱοθετήθημεν:~

Βοήθειαν κατ' ἐχθρῶν, τοῖς εὐσεβέσι παράσχου, ὲ πιστοῖς Βασιλεῦσιν. ὅτι τὰ σύμβολα τῆς σαρκός σου, ὥσπερ ἄμαχον φρούριον, Δέσποτα κεκτημένοι, δι' αὐτῶν ἀφορῶσι τὴν σωτηρίαν αὐτῶν:~

Θεοτοκίον.

Ὡράθη τοῖς ἐπὶ γῆς, σωματοφόρος ὁ Λόγος, διπλοῦς κατὰ τὴν φύσιν ἐκ σοῦ Πανάμωμε, ἀντιδόσει τῆς θεότητος, ὑποστάσει μιᾷ ἀφύρτως, ἑνωθεὶς τῷ φυράματι, ὃν δοξάζομεν:~

Καταβασία.

Ἄγγελοι τὴν κοίμησιν τῆς Παρθένου, ὁρῶντες ἐξεπλήττοντο, πῶς ἡ Παρθένος ἀπαίρει ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Ἅπας γηγενὴς, σκιρτάτω τῷ Πνεύματι, λαμπαδουχούμενος. πανηγυριζέτω δὲ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὴν ἱερὰν μετάστασιν τῆς Θεομήτορος, καὶ βοάτω. χαίροις Παμμακάριστε, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε:~ Συναπτή.

Ἐξαποστειλάριον.

Ἅγιος, Κύριος ὁ Θεὸς ἡμῶν, ἐκ τρίτου.

www.tezaurliturgic.ro



Καὶ τὸ παρόν. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τῶν Ἀποστόλων ὁ δῆμος, συναθροισθεὶς ἐν νεφέλαις, ἀξιοχρέως κηδεύει, τὴν τοῦ Κυρίου Μητέρα, παρόντος καὶ τοῦ Σωτῆρος, σὺν μυριάσιν Ἀγγέλων :~

Εἰς τοὺς αἴνους, πᾶσα πνοή. ἦχος, πλ. β΄.
Ὅλην ἀποθέμενοι.

Ἰησοῦ γλυκύτατε, ψυχῆς ἐμῆς θυμηδία, Ἰησοῦ ἡ κάθαρσις, τοῦ νοός μου Δέσποτα πολυέλεε. Ἰησοῦ σῶσόν με, Ἰησοῦ Σωτήρ μου, Ἰησοῦ μου Παντοδύναμε, μὴ καταλίπῃς με, Σῶτερ Ἰησοῦ με ἐλέησον, καὶ λύτρωσαι κολάσεως, πάσης Ἰησοῦ καὶ ἀξίωσον, τῆς τῶν σωζομένων, μερίδος Ἰησοῦ μου τῷ χορῷ, τῶν ἐκλεκτῶν σου με σύνταξον, Ἰησοῦ φιλάνθρωπε :~ Δίς.

Ἰησοῦ γλυκύτατε, τῶν Ἀποστόλων ἡ δόξα, Ἰησοῦ μου καύχημα, τῶν Μαρτύρων Δέσποτα παντοδύναμε. Ἰησοῦ σῶσόν με, Ἰησοῦ Σωτήρ μου, Ἰησοῦ μου ὡραιότατε, τὸν σοὶ προστρέχοντα, Σῶτερ Ἰησοῦ με ἐλέησον. πρεσβείαις τῆς Τεκούσης σε, πάντων Ἰησοῦ τῶν Ἁγίων σου, Προφητῶν τε πάντων, Σωτήρ μου Ἰησοῦ καὶ τῆς τρυφῆς, τοῦ Παραδείσου ἀξίωσον, Ἰησοῦ φιλάνθρωπε :~

Ἰησοῦ γλυκύτατε, τῶν Μοναζόντων τὸ κλέος, Ἰησοῦ μακρόθυμε, Ἀσκητῶν ἐντρύφημα καὶ καλλώπισμα, Ἰησοῦ σῶσόν με, Ἰησοῦ Σωτήρ μου, Ἰησοῦ μου ὑπεράγαθε. χειρὸς ἐξάρπασον, Σῶτερ Ἰησοῦ με τοῦ δράκοντος. καὶ τούτου τῶν παγίδων, μου Σῶτερ Ἰησοῦ ἐλευθέρωσον, λάκκου κατωτάτου, Σωτήρ μου Ἰησοῦ ἀναγαγὼν, καὶ δεξιοῖς συναρίθμησον, Ἰησοῦ προβάτοις με :~

www.tezaurliturgic.ro



Δόξα, καὶ νῦν, ἦχος, πλ. δ'.

Ἡγιάσθη ὁ αἰθὴρ ἐν τῇ ἀνόδῳ σου Δέσποινα, ὡς ἐφωτίσθη ἡ γῆ ἐν τῷ τόκῳ σου Θεοτόκε. προπέμπουσιν Ἀπόστολοι, καὶ Ἄγγελοι ὑποδέχονται. ὅθεν κηδεύσαντες τὸ πανάχραντον σῶμά σου, καὶ ἐπιτάφιον ὕμνον ἐξᾴδοντες, μετάρσιον ἔβλεπον, καὶ φόβῳ ἔλεγον. αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου, αὐτὸς γὰρ ἐν μέσῳ σου καὶ οὐ σαλευθήσῃ. ἀλλ' ὦ πολυύμνητε Κόρη, μὴ διαλίπῃς ἡμᾶς ἐποπτεύουσα. ἡμεῖς γὰρ λαός σου καὶ πρόβατα νομῆς σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα, αἰτούμενοι διὰ σοῦ σωτηρίαν, καὶ μέγα ἔλεος:-

Δοξολογία μεγάλη. Καὶ μετὰ τὴν δοξολογίαν, λέγει ὁ Ἱερεύς. Τοῦ Κυρίου δεηθῶμεν. καὶ τὴν εὐχὴν ταύτην πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

Ἥμαρτον, ἠνόμησα, καὶ οὐκ ἐδικαιώθην ἐνώπιόν σου Δέσποτα πανάγαθε, παρέβην τὰ σὰ σωτήρια ἐντάλματα, καὶ τὰς ἱεράς σου ἐπαγγελίας, ἃς ἐν τῷ Ἁγίῳ Βαπτίσματι, ἐνώπιον τοῦ Ἁγίου σου θυσιαστηρίου, τῶν Ἀγγέλων τε καὶ τῶν ἀνθρώπων ἐποιησάμην. κατελύπησα τὸ τίμιον αἷμα τῆς διαθήκης σου δι' οὗ ἡγιάσθην, κοινωνίαν ἐξαγοράσεως δεξάμενος. τὸ πνεῦμα τῆς χάριτος κατωλιγώρησα, τὴν φοβερὰν δὲ καὶ ὑπὲρ φύσιν υἱοθεσίαν οὐκ ἐλογισάμην. Γραφὴ πᾶσα, νόμος θεῖος, καὶ διδασκαλία θεόπνευστος, ὡς πλῆξις ἀέρος κενή, καὶ φθόγγος μόνος, ἐνεργείας ἔρημος, ἐν ἐμοὶ κατενοήθησαν. τὸ τίμιον Εὐαγγέλιον, ὀρθοδοξίας τῆς ἀληθινῆς, ὀνόματι, καὶ μόνῳ λόγῳ, κατέχω ὁ ἄθλιος. χεῖρας μὲν ἔχω πρὸς πᾶσαν ἁρπαγήν,

www.tezaurliturgic.ro



γὴν, καὶ πλεονεξίαν ἐπιμελῶς. πόδας δὲ, ταχέως καὶ θαρσαλέως, πρὸς πᾶσαν ἀδικίαν κακῶς βαδίζοντας. καὶ ἑτοίμους ἁρπάξειν τὴν τοῦ ἀδελφοῦ μερίδα, καὶ καταπατεῖν, κατεσθίων τοὺς πτωχούς. τὸ στόμα, τῶν ἱερῶν ἠχῶν, καὶ λόγου τοῦ Θεοῦ τὸ ὄργανον, ἀκαθαρσίας παντοίας, ματαιολογίας, καὶ ἐπιορκίας, τῶν δαιμόνων ἐποίησα εἰς ὄργανον. τοὺς ὀφθαλμοὺς, καὶ πάσας μου τὰς αἰσθήσεις, τῷ πλήθει τῆς ἀσελγείας, καὶ ῥύπου παντοδαποῦς ἐνέπλησα. τὸν τῆς χάριτος θεῖον σπόρον, τοῦ ἐν ἐμοὶ δεσπόζοντος νοὸς, κατεπάτησα. καὶ τὰ μέλη Χριστὲ τὰ σὰ πόρνης μέλη ποιούμενος, ἀντὶ Ναοῦ τοῦ Θεοῦ, φθορᾶς καὶ πάσης ἀκαθαρσίας, φυλακτήριον ἀνέδειξα. ὅθεν Δέσποτα πανάγαθε, τὴν πολλὴν φιλανθρωπίαν σου, εἰς αἰσχρότητα ὁ ἄθλιος μετεποίησα. καὶ πολλά σου ἀγαθὰ δωρήματα, ἀφρόνως μετέβαλον εἰς κόλασιν. μηδαμῶς δὲ, οὔτε ἐκ τῶν ἐνόντων μοι ἀγαθῶν, οὔτε ἐκ τῶν δεινῶν τῶν πλησίον κρείττων γεγονὼς, δικαίως ἐγὼ μόνος τὰς πληγὰς τῆς δικαίας σου παιδεύσεως, κατ᾽ ἐμοῦ ἐξηρέθισα. ἀλλὰ μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μὴ δὲ τῇ ὀργῇ σου παιδεύσῃς με Κύριε. σοὶ μόνῳ ἥμαρτον, ἀλλὰ καὶ σὲ μόνον προσκυνῶ, καὶ συντετριμμένῃ καρδίᾳ, ὡς θυσίαν καθαρὰν, τὴν ἐξομολόγησιν προσφέρω σοι. ἀλλὰ φιλάνθρωπε Δέσποτα. ἴασαι τὴν δικαίως κατ᾽ ἐμοῦ ἐπιφερομένην πληγήν. νικάτω τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, τὴν πονηρὰν ὁμήγυριν τῶν πλημμελημάτων μου, καὶ τὸ ἄπειρον τῆς σῆς ἀμετρήτου χρηστότητος, καλυπτέτω τὴν πικρὰν θάλασσαν τῶν δακρύων μου. ἐν χερσὶ κατέχω τὴν εἰκόνα καὶ μεγαλωσύνην τῆς φι-

www.tezaurliturgic.ro


λαμθρωπίας σου, τὸν Ληστήν, τὸν Τελώνην, τὴν Πόρνην, καὶ τὸν ἄσωτον Υἱόν. οἵτινες ὑπὲρ ἐμὲ πάντες, ἐν μετανοίᾳ εὐδοκιμήσαντες, εἰς οὐρανῶν βασιλείαν εἰσήλθοσαν. σὺν τούτοις λοιπὸν κἀμὲ τὸν ἐξομολογούμενον, καὶ σοὶ προσπίπτοντα δέξαι Δέσποτα. κἂν μακρὰν ἀφίσταμαι τοῦ πλήθους τῆς ἐκείνων παντοίας ἐπιστροφῆς καὶ μετανοίας, ἀναπληρούτω τὰ ἐλλείποντα, μᾶλλον δὲ τὰ πάντα ἡ ἄπειρος ἀγαθότης σου. πόρρω καὶ γὰρ τοῦ παντὸς ἐν ἀληθείᾳ ἀφίσταμαι. προσάγω σοι τὸν ὀδυρμὸν τῶν πενήτων, καὶ τὰς φωνὰς τῶν νηπίων, καὶ πάσης ἡλικίας τὴν ταπεινὴν καὶ ἁπλῆν δέησιν. μόνος ἐπάξιον τῶν οἰκτιρμῶν καὶ τῆς ἀφέσεως τῆς σῆς. Καὶ γὰρ ἔχεις προσέτι πρὸς εὐσπλαγχνίαν, καὶ ἔλεος σὲ παροτρύνοντας, τὸν Σταυρὸν, καὶ τὸν ἑκούσιον θάνατον, ὃν ὑπὲρ ἐμοῦ τοῦ ἀγνώμονος ὑπέμεινας. τοὺς ἀγῶνας δὲ ἔτι τῶν Ἀποστόλων, τῶν Ὁσίων, τῶν Νηστευτῶν, καὶ τῶν Μαρτύρων τὰ αἵματα. πρὸ πάντων δὲ τὴν κοινὴν ἁπάντων ἐλπίδα, καὶ σωτηρίαν, τὴν ἀσπόρως ὑπὲρ λόγον σὲ Τεκοῦσαν. ὧν τὰς εὐχὰς φιλανθρώπως δεξάμενος, ἐπάκουσόν μου δεομένου σου, γλυκύτατε Ἰησοῦ. καὶ οὐ μόνον ἑνὸς ἐμοῦ ἕνεκεν, ἀλλὰ καὶ ὑπὲρ ὧν ὀφειλέτης ὑπάρχω. τοὺς αἱρετικοὺς, καὶ ἀποστάτας, τοὺς ἐκ τῆς ὀρθοδόξου πίστεως πεπλανημένους, πρὸς γνῶσιν τῆς ἀληθείας ἀνακάλεσον. τοὺς ἀπίστους φώτισον, ὅπως ἐπιγνώσωνταί σε. τοὺς ἐν τοῖς πλημμελήμασι, πρὸς μετάνοιαν καθοδήγησον. τοῖς ἐν τῇ παρθενίᾳ ἁγνείαν δώρησαι καὶ ἐγκράτειαν. τοῖς συνεζευγμένοις γάμῳ, ἁγιότητα. τῶν χηρῶν, καὶ ὀρφανῶν γενοῦ κηδεμών. σκέπη τῶν πτωχῶν, τῶν

ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

ἐν ἀλλοδαπῇ ξενιτευομένων, ἐπαναχάμψεις εἰς τὰ ἴδια. τῶν πλεόντων ὁρμητήριον. συγχώρησιν μετανοοῦσι δωρῆσαι. τοῖς κλαίουσι παραμυθίαν. τοῖς ἀγαθοῖς ἐν ἀγαθότητι διαμένειν. τοῖς ἔτι ἐν τῷ μέσῳ, ἐπὶ τὸ τέλειον προκόπτειν. τοῖς ἐπταικόσι πρὸς διόρθωσιν προχωρεῖν. ναὶ Ἰησοῦ Γλυκύτατε δέομαί σου, δός μοι τῶν πλημμελημάτων μου συγχώρησιν. νοὸς τὴν εὐστάθειαν. σώματος τὴν ὑγείαν. βίου ἱκανῶς τὰ ἀναγκαῖα. εἰρήνην εἰς τὰς ἡμέρας μου. ἀέρος εὐκρασίαν. γῆς εὐκαρπίαν. πίστεως τῆς ὀρθοδόξου ἐπαύξησιν. καὶ ἕνωσιν τῶν Ἁγίων σου Ἐκκλησιῶν. αἱρέσεως καθυποβολήν. ἀσεβῶν βουλευτηρίων διασκεδασμόν. ἀγάπης θερμότητα, καὶ πᾶσαν εὐσέβειαν. ἐν ταῖς προσευχαῖς ἐγκάρδιον καθαρότητα. ἐν ταῖς ἐναντίαις ἀποφάσεσιν, ὑπομονήν, καὶ μεγαλοψυχίαν. ἐν ἐλπίδι, εὐφροσύνην. καὶ πᾶν τὸ σωτήριον καὶ λυσιτελὲς τῇ ἐμῇ ψυχῇ, καὶ τῷ σώματι, ὑγείαν δηλονότι, καὶ σωτηρίαν. μᾶλλον δὲ τὴν προσήκουσαν τῇ εὐπρεπεῖ σου δόξῃ αἴτησιν δώρησαι. καὶ πλήρωσον αὐτὴν κατὰ τοὺς ἀμετρήτους σου οἰκτιρμούς. ἐκλυτρούμενός με τῆς ἐπικειμένης δικαίας ἀπειλῆς, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, καὶ παντοίων ἀλγηδόνων θανατηφόρων. καὶ ὡς μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, δώρησαί μοι μετανοίας καιρόν, ὅπως ἀπαλλαγῆς ἀξιωθῶ ἐκ τῶν ἐνεστώτων, καὶ τῶν μελλόντων αἰωνίων κολάσεων, χάριτι, καὶ φιλανθρωπίᾳ τοῦ ἀνάρχου σου Πατρός, μεθ' οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ζωοποιῷ σου Πνεύματι. νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.~

www.tezaurliturgic.ro



Τὸ ἄξιόν ἐστιν. Τὸ Τρισάγιον. Εἶτα τὸ τροπάριον.
Τὴν ἄχραντον εἰκόνα σου, καὶ τῆς ἑορτῆς.
Ἐκτενή. Καὶ ἀπόλυσις.
Εἰς τὴν Λειτουργίαν, τυπικά, καὶ ἐκ τοῦ κανόνος.
Ὠδή, γ΄. καὶ ς΄. Τὸ Τρισάγιον.
Καὶ ὁ Ἀπόστολος. Προκείμενον, ἦχος, πλ. δ΄.

Σῶσον Κύριε τὸν λαόν σου.
Πρὸς σὲ Κύριε κεκράξομαι.

Πρὸς Ἐφεσίους Ἐπιστολῆς.

Ἀδελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε. ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ, δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ. καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε. τὰ γὰρ κρυφῆ γινόμενα ὑπ᾽ αὐτῶν αἰσχρόν ἐστι καὶ λέγειν. τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦνται. πᾶν γὰρ τὸ φανερούμενον, φῶς ἐστι. διὸ λέγει· ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε. μὴ ὡς ἄσοφοι, ἀλλ᾽ ὡς σοφοί. ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες, τί τὸ θέλημα τοῦ Κυρίου. καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία. ἀλλὰ πληροῦσθε πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

Ἀλληλούϊα.

Ἐλέησόν με ὁ Θεός.
στ. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro



Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην Ἁγίου Εὐαγγελίου.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. οἱ Πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καὶ ἀπέθανον. οὗτός ἐστιν ὁ ἄρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων· ἵνα τὶς ἐξ αὐτοῦ φάγῃ, καὶ μὴ ἀποθάνῃ. ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. καὶ ὁ ἄρτος δέ, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι, λέγοντες· πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα φαγεῖν; εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν ἀμὴν λέγω ὑμῖν. ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.

Κοινωνικόν.

Ἐν τῷ φωτὶ τῆς δόξης τοῦ προσώπου σου Κύριε πορευσόμεθα, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιασόμεθα εἰς τὸν αἰῶνα. Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.

Τέλος, καὶ τῷ ἐν Τριάδι Θεῷ δόξα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

εἶπεν ὁ κύριος πρὸς τοὺς πεπιστευκότας
αὐτῷ ἰουδαίους. ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς.
οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα

Ἦχ. πλ. [illegible] κύριε
κύριε ἕως τὴν

Ἦχος ἐλέησόν με

ἕως πότε καθαί μισέ ψυχὴ ταλαιπωρημένη, ἕως πότε
ἀλαβαίνεις εἰς νοῦν τὴν φοβερὰν ἡμέραν τῆς
κρίσεως ἰδοὺ ἡ νεότης ἀπῆλθεν ἀπρόσω
τὸ γῆρας ἐπικαταλαμβάνει ὁ φόνος ἐγγίζει πρὸς
τὸν φόβον τῆ ἔθνη ὁ φρόντιζε σκατὰ τὴν ἐξοδόν
σου ὁ Χριστὸς σὲ περιμένει μήπως ἐπιστρέψης

www.tezaurliturgic.ro

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro

[illegible]

[illegible]

τοῦ Ἱερεμίου